munis duorum planorum sectio recta est (Eucl. XI 3); itaque ZH, HE in una recta sunt. et quoniam in sphaera circulus maximus ΑΓΒΔ circulum aliquem eorum, qui in sphaera sunt, ZAEB per polos secat, in duas partes aequales eum secabit et ad rectos angulos (I 15); AB igitur diametrus est circuli ZAEB. similiter igitur demonstrabimus, etiam ΓΔ diametrum esse circuli ZΔEΓ. et quoniam circulus ΑΓΒΔ ad utrumque circulum ZAEB, ZΔEΓ perpendicularis est, etiam uterque circulus ZAEB, ZΔEΓ ad circulum ΑΓΒΔ perpendicularis est. sin duo plana ad planum aliquod perpendicularia sunt, etiam communis eorum sectio ad planum illud perpendicularis est (Eucl. XI 19); quare etiam communis sectio planorum ZAEB, ZΔEΓ ad planum ΑΓΒΔ perpendicularis est. communis autem eorum sectio est ZHE; quare etiam ZHE ad circulum ΑΓΒΔ perpendicularis est; quare etiam ad omnes rectas eam tangentes et in plano circuli ΑΓΒΔ positas rectos angulos efficiet (Eucl. XI def. 3). rectam autem ZHE utraque AB, ΓΔ tangit in plano circuli ΑΓΒΔ posita; itaque ZHE ad utramque AB, ΓΔ perpendicularis est; quare etiam utraque AB, ΓΔ ad ZHE perpendicularis est. quoniam igitur in circulo ZAEB recta aliqua per centrum ducta AB rectam aliquam non per centrum ductam ZHE ad rectos angulos secat, etiam in duas partes aequales eam secabit (Eucl. III 3); itaque ZH = HE. communis autem et perpendicularis est HA; itaque arcus ZA arcui AE aequalis est. similiter igitur demonstrabimus, etiam arcum ZB arcui BE aequalem esse et arcum ZΓ arcui ΓE, denique arcum ZΔ arcui ΔE aequalem esse.



ergo circulus ΑΓΒΔ segmenta circulorum abscisa in binas partes aequales secabit.

X.

Si in sphaera paralleli circuli sunt, et per polos eorum circuli maximi describuntur, arcus circulorum parallelorum inter circulos maximos positi similes sunt, maximorum autem circulorum arcus inter circulos parallelos positi aequales sunt.

sint in sphaera paralleli circuli ΑΒΓΔ, EZHΘ, et per polos

τεμεῖ] **ABCDF**, τέμνει **EA**². 25 ι'] mg. ext. **B**². 30 EZHΘ] -Z- corr. ex H? in scrib. **E**, -Θ e corr. **C**².

τῶν πόλων αὐτῶν μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΑΕΗΓ, ΒΖΘΔ. λέγω, ὅτι αἱ μὲν τῶν παραλλήλων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν μεγίστων κύκλων ὅμοιαί εἰσι, τουτέστιν ὅτι ἡ μὲν ΒΓ περιφέρεια ὁμοία ἐστὶ τῇ ΖΗ περιφερείᾳ, ἡ δὲ ΓΔ τῇ ΗΘ, ἡ δὲ ΔΑ τῇ ΘΕ, καὶ ἔτι ἡ ΑΒ τῇ ΕΖ, αἱ δὲ τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων κύκλων ἴσαι εἰσί, τουτέστιν ὅτι αἱ τέσσαρες αἱ ΖΒ, ΗΓ, ΘΔ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν.


ἔστω γὰρ τοῦ μὲν ΑΒΓΔ κύκλου καὶ τοῦ ΒΖΘΔ κοινὴ τομή ἡ ΒΔ, τοῦ δὲ ΑΒΓΔ κύκλου καὶ τοῦ ΑΕΗΓ κοινὴ τομὴ ἡ ΑΓ, τοῦ δὲ ΕΖΗΘ κύκλου καὶ τοῦ ΖΚΘ κοινὴ τομὴ ἡ ΖΘ, τοῦ δὲ ΕΖΗΘ καὶ τοῦ ΕΚΗ κοινὴ τομὴ ἡ ΕΗ.

καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΕΗΓ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΑΒΓΔ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ἡ ΑΓ ἄρα διάμετρός ἐστι τοῦ ΑΒΓΔ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΒΔ διάμετρός ἐστι τοῦ ΑΒΓΔ κύκλου· τὸ Λ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓΔ κύκλου. πάλιν, ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΕΗΓ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΕΖΗΘ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ἡ ΕΗ ἄρα διάμετρός ἐστι τοῦ ΕΖΗΘ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΖΘ διάμετρός ἐστι τοῦ ΕΖΗΘ κύκλου· τὸ Μ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΕΖΗΘ κύκλου. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΑΒΓΔ, ΕΖΗΘ ὑπό τινος ἐπιπέδου τέμνεται τοῦ ΒΖΘΔ, αἱ κοιναὶ αὐτῶν ἄρα τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ ΒΔ τῇ ΖΘ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΑΓ τῇ ΕΗ παράλληλός ἐστιν. ἐπεὶ οὖν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΒΛ, ΛΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΖΜ, ΜΗ εἰσι μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, ἴσας γωνίας περιέξουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΖΜΗ γωνία τῇ ὑπὸ ΒΛΓ γωνίᾳ. καί εἰσι πρὸς τοῖς κέντροις, καὶ βέβηκεν ἡ μὲν ὑπὸ ΖΜΗ γωνία ἐπὶ τῆς ΖΗ περιφερείας, ἡ δὲ ὑπὸ ΒΛΓ γωνία ἐπὶ τῆς ΒΓ περιφερείας· ὁμοία ἄρα ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΖΗ περιφερείᾳ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ μὲν ΓΔ περιφέρεια ὁμοία ἐστὶ τῇ ΗΘ περιφερείᾳ, ἡ δὲ ΑΔ τῇ ΕΘ, καὶ ἔτι ἡ

2 κύκλων] om. D. 4 ἐστὶν A, comp. C. τῇ (pr.)] corr. ex τῆς C. ἔτι] corr. ex ἔστι C². 6 εἰσίν A. τέσσαρες] δ̄ες D. ΖΒ] ΒΖ E. 7 ἀλλήλοις F. 8 μὲν] μὲν τοῦ E. 9 ΑΓ—ἡ (10)] om. C. 10 ΕΖΗΘ] ΖΗΘ E. 12 κύκλον] corr. ex κύκλων A. 13 τεμεῖ] τέμνει E. 15 ΑΒΓΔ] CDEA², ΑΒΓ ABF. 16 ΑΒΓ B. 18 τεμεῖ] τέμνει E. Ad fig. adscr. τοῦ ῑ C, corr. in τοῦ ῑᾱ C². 19 post κύκλου del. καὶ πρὸς ὀρθὰς C. 20 τὸ—κύκλου (21)] om. CF, supra scr. C². 21 ἐπειδὴ F. 22 ΒΖΘΔ] Β- in ras., -ΘΔ mut. in ΔΘ A. 23 εἰσιν E. 24 ΕΗ] Ε- e corr. F. εὐθεῖαι] seq. ras. 2 litt. B. ἁπτόμεναι] corr. ex ἀποτεμνόμεναι A². 25 ΒΛ, ΛΓ] corr. ex ΒΔ, ΔΓ A, ΒΔΛΓ DF. 26 εἰσιν AE. οὖσαι] om. CE. περιέξουσῑ renouat. C. 27 ἐστὶ F. ὑπὸ (pr.)] seq. ras. 1 litt. B. 29 περιφερείας ·/· E, mg. ☾ BC. ὁμοία] -α e corr. F, corr. ex ὁμοίως C². ΒΓ] ΖΗ E. 30 τῇ ΖΗ περιφερείᾳ] mg. A², postea add. κείμενον. ΖΗ] ΒΓ E. μὲν] om. E. 31 ἐστὶ] mut. in ἐστὶν A, comp. C. ΗΘ] ΘΗ E.

eorum [prop. I] circuli maximi describantur ΑΕΗΓ, ΒΖΘΔ. dico, arcus parallelorum circulorum inter circulos maximos positos similes esse, hoc est esse arcum ΒΓ arcui ΖΗ similem, arcum autem ΓΔ arcui ΗΘ, arcum ΔΑ arcui ΘΕ, denique arcum ΑΒ arcui ΕΖ, maximorum autem circulorum arcus inter circulos parallelos positos aequales esse, hoc est quattuor arcus ΖΒ, ΗΓ, ΘΔ, ΕΑ inter se aequales esse.

communis enim sectio circulorum ΑΒΓΔ, ΒΖΘΔ sit ΒΔ, circulorum autem ΑΒΓΔ, ΑΕΗΓ communis sectio ΖΘ, circulorum autem ΕΖΗΘ, ΕΚΗ communis sectio ΕΗ.



et quoniam in sphaera circulus maximus ΑΕΗΓ circulum aliquem eorum, qui in sphaera sunt, ΑΒΓΔ per polos secat, in duas partes aequales eum secabit et ad rectos angulos (I 15); ΑΓ igitur diametrus est circuli ΑΒΓΔ. similiter igitur demonstrabimus, etiam ΒΔ diametrum esse circuli ΑΒΓΔ; itaque punctum Λ centrum est circuli ΑΒΓΔ. rursus, quoniam in sphaera circulus maximus ΑΕΗΓ circulum aliquem eorum, qui in sphaera sunt, ΕΖΗΘ per polos secat, in duas partes aequales eos secabit et ad rectos angulos (I 15); ΕΗ igitur diametrus est circuli ΕΖΗΘ. similiter igitur demonstrabimus, etiam ΖΘ diametrum esse circuli ΕΖΗΘ; itaque punctum Μ centrum est circuli ΕΖΗΘ. et quoniam duo plana parallela ΑΒΓΔ, ΕΖΗΘ plano aliquo ΒΖΘΔ secantur, communes eorum sectiones parallelae sunt (Eucl. XI 16); itaque ΒΔ rectae ΖΘ parallela est. similiter igitur demonstrabimus, etiam ΑΓ rectae ΕΗ parallelam esse. quoniam igitur duae rectae inter se tangentes ΒΛ, ΛΓ duabus rectis inter se tangentibus ΖΜ, ΜΗ parallelae sunt in eodem plano non positae, aequales angulos comprehendent (Eucl. XI 10); itaque ∠ΖΜΗ = ∠ΒΛΓ. et ad centra positi sunt, et ∠ΖΜΗ in arcu ΖΗ consistit, ∠ΒΛΓ autem in arcu ΒΓ; itaque arcus ΒΓ arcui ΖΗ similis est (cfr. Eucl. III def. 11). similiter igitur demonstrabimus, etiam arcum ΓΔ arcui ΗΘ similem esse, arcum autem ΑΔ arcui ΕΘ, denique arcum ΑΒ arcui ΕΖ; ergo arcus

ΑΒ τῇ ΕΖ· αἱ ἄρα τῶν παραλλήλων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν μεγίστων κύκλων ὅμοιαί εἰσι.

λέγω δή, ὅτι καὶ αἱ τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων κύκλων ἴσαι εἰσίν.

ἐπεὶ γὰρ τὸ Κ σημεῖον πόλος ἐστὶ τοῦ ΑΒΓΔ κύκλου, αἱ τέσσαρες ἄρα αἱ ΚΑ, ΚΒ, ΚΓ, ΚΔ ἴσαι ἀλλήλαις εἰσίν. πάλιν, ἐπεὶ τὸ Κ σημεῖον πόλος ἐστὶ τοῦ ΕΖΗΘ κύκλου, αἱ τέσσαρες ἄρα αἱ ΚΕ, ΚΖ, ΚΗ, ΚΘ ἴσαι ἀλλήλαις εἰσί· λοιπαὶ ἄρα αἱ τέσσαρες αἱ ΕΑ, ΖΒ, ΗΓ, ΘΔ ἴσαι ἀλλήλαις εἰσίν.

αἱ ἄρα τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων κύκλων ἴσαι εἰσίν.

ια΄.

Ἐὰν ἐν ἴσοις κύκλοις ἐπὶ διαμέτρων ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐπισταθῇ, ἀπὸ δὲ αὐτῶν ἴσαι περιφέρειαι ἀποληφθῶσι πρὸς τοῖς πέρασι τῶν τμημάτων ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων, καὶ ἀπὸ τῶν γενομένων σημείων πρὸς τὰς τῶν ἐξ ἀρχῆς κύκλων περιφερείας ἴσαι εὐθεῖαι προσβληθῶσιν, ἴσας ἀπολήψονται περιφερείας τῶν ἐξ ἀρχῆς κύκλων πρὸς τοῖς πέρασι τῶν διαμέτρων.

ἐν γὰρ ἴσοις κύκλοις τοῖς ΑΒΓ, ΔΕΖ ἐπὶ διαμέτρων τῶν ΑΓ, ΔΖ ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐφεστάτω τὰ ΑΗΓ, ΔΘΖ, καὶ ἀπ᾽ αὐτῶν ἴσαι περιφέρειαι ἀπειλήφθωσαν πρὸς τοῖς πέρασι τοῖς Α, Δ σημείοις αἱ ΑΗ, ΔΘ ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων τῶν ΑΗΓ, ΔΘΖ, καὶ ἀπὸ τῶν Η, Θ σημείων πρὸς τὰς τῶν ἐξ ἀρχῆς κύκλων τῶν ΑΒΓ, ΔΕΖ περιφερείας ἴσαι εὐθεῖαι προσβεβλήσθωσαν αἱ ΗΒ, ΘΕ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΑΒ περιφέρεια τῇ ΔΕ περιφερείᾳ.

ἤχθωσαν γὰρ ἀπὸ τῶν Η, Θ σημείων ἐπὶ τὰ τῶν ΑΒΓ, ΔΕΖ κύκλων ἐπίπεδα κάθετοι· πεσοῦνται δὴ ἐπὶ τὰς κοινὰς τομάς, τουτέστιν ἐπὶ τὰς ΑΓ, ΔΖ. πιπτέτωσαν καὶ ἔστωσαν αἱ ΗΚ, ΘΛ, καὶ εἰλήφθω τὰ κέντρα τῶν ΑΒΓ, ΔΕΖ κύκλων καὶ ἔστω τὰ Μ, Ν σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΚΒ, ΒΜ, ΛΕ, ΕΝ.

καὶ ἐπεὶ ἡ ΗΚ ὀρθή ἐστι πρὸς τὸ τοῦ ΑΒΓ κύκλου ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς καὶ οὔσας ἐν τῷ τοῦ ΑΒΓ

2 εἰσιν **E**, εἰσ̄ι **C**. 4 εἰσὶν ἴσαι **C**. 5 Κ] e corr. $\mathbf{C}^2$. ΑΒΓ **D**. 6 εἰσίν] **ACE**, εἰσί **BDF**. 7 $\overline{\delta}^{\epsilon\sigma}$ **D**. 8 εἰσί] εἰσίν· ἐδείχθησαν δὲ καὶ αἱ τέσσαρες αἱ ΚΒ, ΚΑ, ΚΓ, ΚΔ ἴσαι ἀλλήλαις **E**. $\overline{\delta}^{\epsilon\sigma}$ **D**. ΕΑ] ΑΕ **F**. ΗΓ] corr. ex Γ **F**. 10 παραλλήλων] -λων in ras. **A**. 11 κύκλων ἴσαι] in ras. **A**. κύκλων—εἰσίν] postea add. extr. fol. 243^v **F**. Post ἴσαι supra add. ἀλλήλαις $\mathbf{A}^2$. 12 ια΄] mg. ext. $\mathbf{B}^2$. 13 ἐν] om. **C**. 14 ἀποληφθῶσι] -η- in ras. **A**. 19 τοῖς] τὰ **B**, $\overset{8}{\tau}$ **F**. 20 ΔΘΖ] corr. ex ΔΕΖ in scrib. **C**. 21 τοῖς πέρασι] om. **E**. Α, Δ] ΗΘ **E**. 22 ἢ] om. **E**. ΔΘΖ] corr. ex ΔΕΖ **CD**. 24 ΘΕ] ΔΕ **E**. 26 τὰ] **AE**, τὰ διὰ **BCDF**. ΑΒΓ, ΔΕΖ] in ras. **A**. 27 κάθετοι ⋕ **D**. τομάς] seq. schol. **E**. Mg. o⊃ **BC**. 29 ΔΕΖ] -Ε- supra scr. **C**. Ν] corr. ex Η $\mathbf{C}^2$. 31 ἐστιν **A**, comp. **C**. πρὸς] in ras. **C**. 32 αὐτῆς] αὐτῆς εὐθείας **E**.

circulorum parallelorum inter circulos maximos positi similes sunt.

iam dico, etiam arcus circulorum maximorum inter circulos parallelos positos aequales esse.

quoniam enim punctum Κ polus est circuli ΑΒΓΔ,[1] quattuor arcus ΚΑ, ΚΒ, ΚΓ, ΚΔ inter se aequales sunt (cfr. I def. 5). rursus, quoniam punctum Κ polus est circuli ΕΖΗΘ,[1] quattuor arcus ΚΕ, ΚΖ, ΚΗ, ΚΘ inter se aequales sunt (ib.); quare, quae relinquuntur quattuor arcus ΕΑ, ΖΒ, ΗΓ, ΘΔ, inter se aequales sunt.

ergo arcus circulorum maximorum inter circulos parallelos positi aequales sunt.

XI.

Si in aequalibus circulis in diametris segmenta circulorum aequalia et perpendicularia eriguntur, et ab iis arcus aequales ad terminos segmentorum abscinduntur minores quam dimidii totorum segmentorum, et a punctis ortis ad ambitus circulorum ab initio positorum aequales rectae adcidunt, ad terminos diametrorum aequales arcus circulorum ab initio positorum abscindent.

in aequalibus enim circulis ΑΒΓ, ΔΕΖ in diametris ΑΓ, ΔΖ segmenta circulorum aequalia et perpendicularia erigantur ΑΗΓ, ΔΘΖ, et ab iis arcus aequales ad terminos puncta Α, Δ abscindantur ΑΗ, ΔΘ minores quam dimidii totorum ΑΗΓ, ΔΘΖ, et a punctis Η, Θ ad ambitus circulorum ab initio positorum ΑΒΓ, ΔΕΖ rectae aequales adcidant ΗΒ, ΘΕ. dico, arcum ΑΒ arcui ΔΕ aequalem esse.

nam a punctis Η, Θ ad plana circulorum ΑΒΓ, ΔΕΖ perpendiculares ducantur; in communes igitur sectiones cadent (Eucl. XI app. I 3), hoc est in ΑΓ, ΔΖ. cadant et sint ΗΚ, ΘΛ, et sumantur centra circulorum ΑΒΓ, ΔΕΖ (Eucl. III 1) et sint puncta Μ, Ν, et iungantur ΚΒ, ΒΜ, ΛΕ, ΕΝ.

et quoniam ΗΚ ad planum circuli ΑΒΓ perpendicularis est, etiam ad omnes rectas eam tangentes et in plano circuli ΑΒΓ

1) Prop. I.

κύκλου ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς ἡ KB οὖσα ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ HKB. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΘΛΕ γωνία ὀρθή ἐστιν. καὶ ἐπεὶ δύο τμήματα ἴσα ἐστὶ τὰ ΑΗΓ, ΔΘΖ, καὶ ἴσαι ἀπειλημμέναι εἰσὶ περιφέρειαι αἱ ΑΗ, ΔΘ, καὶ κάθετοι ἠγμέναι εἰσὶν αἱ ΚΗ, ΘΛ, ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΚ τῇ ΔΛ, ἡ δὲ ΗΚ τῇ ΘΛ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΗ τῇ ΘΕ, ἴσον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΒΗ τῷ ἀπὸ τῆς ΘΕ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΒΗ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΗΚ, ΚΒ, τῷ δὲ ἀπὸ τῆς ΘΕ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΘΛ, ΛΕ· τὰ ἄρα ἀπὸ τῶν ΗΚ, ΚΒ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΘΛ, ΛΕ· ὧν τὸ ἀπὸ τῆς ΗΚ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΘΛ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΚΒ λοιπῷ τῷ ἀπὸ τῆς ΛΕ ἐστιν ἴσον· ἴση ἄρα ἐστὶν ἡ ΚΒ τῇ ΛΕ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΜ τῇ ΔΝ, ὧν ἡ ΑΚ τῇ ΔΛ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ΚΜ λοιπῇ τῇ ΛΝ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΒΜ τῇ ΝΕ ἴση· δύο δὴ αἱ ΚΜ, ΜΒ δύο ταῖς ΛΝ, ΝΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ βάσις ἡ ΚΒ βάσει τῇ ΛΕ ἐστιν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΚΜΒ γωνίᾳ τῇ ὑπὸ ΛΝΕ ἐστιν ἴση. ἐν δὲ τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κέντροις ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι· ἴση ἄρα ἐστὶν ἡ ΑΒ περιφέρεια τῇ ΔΕ περιφερείᾳ.


ιβ'.

Ἐὰν ἐν ἴσοις κύκλοις ἐπὶ διαμέτρων ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐπισταθῇ, ἀπὸ δὲ αὐτῶν ἴσαι περιφέρειαι ἀποληφθῶσι πρὸς τοῖς πέρασιν ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων τμημάτων, ἀπὸ δὲ τῶν κύκλων ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἐπὶ τὰ αὐτὰ μέρη πρὸς τοῖς πέρασι τῶν διαμέτρων, αἱ ἐπὶ τὰ γενόμενα σημεῖα ἐπιζευγνύμεναι εὐθεῖαι ἴσαι ἔσονται ἀλλήλαις.

ἐν γὰρ ἴσοις κύκλοις τοῖς ΑΒΓ, ΔΕΖ ἐπὶ διαμέτρων τῶν ΑΓ, ΔΖ ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐφεστάτω τὰ ΑΗΓ, ΔΘΖ, καὶ ἀπ'

1 ὀρθὰς ποιήσει] -ὰς π- in ras. **C**. γωνίας] -ίας in ras. **C**. ante KB eras. B **C**. 2 HKB] -B e corr. **C**. 3 ἐστιν] **A**, comp. **C**, ἐστι **BDEF**. 4 ἐστὶν **A**, comp. **C**. ΑΗΓ] corr. ex ΑΒΓ **B**². ἴσαι] ἴσαι εἰσὶν **E**, om. **ABCDF**. εἰσὶ] εἰσὶν **A**, ἴσαι εἰσὶν **F**, ἴσαι εἰσὶ **BCDA**², om. **E**. περιφέρειαι —εἰσὶν (5)] om. **F**. 5 ΚΗ] **ADE**, ΗΚ **BCFA**². Ad fig. τοῦ ιβ **C** corr. in τοῦ ια **C**², nonnullas litt. renou. et rectam BH add. **C**²; H] N, Λ] K **E**. ante ΘΛ eras. KH **CF**. 6 AK] in ras. **C**. τῇ ΔΛ—ΘΕ] mg. **C**² (·b· mut. in ∴, κείμενον) in textu del. τῇ ΘΛ; mg. inf. alia manu post. ·/· ἡ δὲ ΗΚ—ΘΕ (pro BH hic hab. HB). Mg. ☾ **B**, ⚲ **C**. 7 ἐστὶ] ἐστὶν **A**, -ν eras. καὶ] om. **D**. 8 ἐστὶν **A**. ΗΚ—pr. τῶν (9)] om. **E**. 9 ἐστὶ (pr.)] del. **A**², sed rursus corr. τὰ ἄρα—ΛΕ (10)] om. **D**. ΗΚ] Η- corr. ex K in scrib. **C**. τοῖς] corr. ex τὰ in scrib. **C**. 12 KB] -B e corr. **E**. ΔΝ] corr. ex ΑΝ **A**, -N in ras. **B**. 13 ΛΝ] ΛΗ **E**. 14 ἔστιν **AB**. ΜΒ **E**. ΝΕ] Ν- in ras. **D**. ἴση] **E**, om. **ABCDF**. δύο (alt.)] mut. in δυσὶ **A**². 15 ἴσαι εἰσὶν] -αι εἰσ- in ras. **B**. 16 ΛΝΕ] corr. ex ΛΝ **A**. 19 ἴσαι **E**. 20 ιβ'] mg. ext. **B**². 21 ἐν] om. **CE**. 22 δὲ] δὲ τῶν **D**. 25 γενόμενα] mut. in γϊνόμενα **B**. 28 ἀπ'] corr. ex ὑπ' in scrib. **C**.

positas rectos angulos efficiet (Eucl. XI def. 3). tangit autem eam KB in plano circuli ΑΒΓ posita; ∠HKB igitur rectus est. similiter igitur demonstrabimus, etiam ∠ΘΛΕ rectum esse. et quoniam duo segmenta aequalia sunt ΑΗΓ, ΔΘΖ, et aequales



arcus abscisi sunt ΑΗ, ΔΘ, et perpendiculares ductae sunt ΚΗ, ΘΛ, erit ΑΚ = ΔΛ, ΗΚ = ΘΛ.[1] et quoniam ΒΗ = ΘΕ, erit etiam $BH^2 = \Theta E^2$. uerum $BH^2 = HK^2 + KB^2$, $\Theta E^2 = \Theta\Lambda^2 + \Lambda E^2$ (Eucl. I 47); quare $HK^2 + KB^2 = \Theta\Lambda^2 + \Lambda E^2$; quorum $HK^2 = \Theta\Lambda^2$; itaque, quod relinquitur $KB^2 = \Lambda E^2$, quod relinquitur; quare KB = ΛΕ. et quoniam ΑΜ = ΔΝ, quarum ΑΚ = ΔΛ, reliqua ΚΜ reliquae ΛΝ aequalis est. uerum etiam ΒΜ = ΝΕ; itaque duae ΚΜ, ΜΒ duabus ΛΝ, ΝΕ aequales sunt singulae singulis. et basis ΚΒ basi ΛΕ aequalis est; itaque ∠KMB = ∠ΛΝΕ (Eucl. I 8). in aequalibus autem circulis aequales anguli in aequalibus arcubus consistunt, siue ad centra siue ad ambitus consistunt (Eucl. III 26); ergo arcus ΑΒ arcui ΔΕ aequalis est.

XII.

Si in aequalibus circulis in diametris segmenta circulorum aequalia et perpendicularia eriguntur, et ab iis arcus aequales ad terminos abscinduntur minores quam dimidii totorum segmentorum, a circulis autem ad easdem partes ad terminos diametrorum aequales arcus abscinduntur, rectae ad puncta ita orta ductae inter se aequales erunt.

nam in circulis aequalibus ΑΒΓ, ΔΕΖ in diametris ΑΓ, ΔΖ segmenta circulorum aequalia et perpendicularia erigantur ΑΗΓ, ΔΘΖ, et ab iis arcus aequales ad easdem partes ad terminos

1) Nam ductis ΗΑ, ΔΘ erit ∠HAK = ∠ΘΔΛ (Eucl. III 27) et ΗΑ = ΔΘ (Eucl. III 29); tum u. Eucl. I 26.

αὐτῶν ἴσαι περιφέρειαι ἀπειλήφθωσαν ἐπὶ τὰ αὐτὰ μέρη πρὸς τοῖς πέρασι τῶν τμημάτων αἱ ΑΗ, ΔΘ ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων τμημάτων, ἀπὸ δὲ τῶν ΑΒΓ, ΔΕΖ κύκλων ἀφῃρήσθωσαν ἴσαι περιφέρειαι ἐπὶ τὰ αὐτὰ μέρη πρὸς τοῖς πέρασι τῶν διαμέτρων αἱ ΑΒ, ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΒ, ΘΕ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΗΒ τῇ ΘΕ.

ἤχθωσαν γὰρ ἀπὸ τῶν Η, Θ σημείων ἐπὶ τὰ τῶν ΑΒΓ, ΔΕΖ κύκλων ἐπίπεδα κάθετοι αἱ ΗΚ, ΘΛ· πεσοῦνται δὴ ἐπὶ τὰς κοινὰς τομάς, τουτέστιν ἐπὶ τὰς ΑΓ, ΔΖ, καὶ εἰλήφθω τὰ κέντρα τῶν κύκλων καὶ ἔστω τὰ Μ, Ν σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΚΒ, ΒΜ, ΛΕ, ΕΝ.

καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ περιφέρεια τῇ ΔΕ περιφερείᾳ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΑΜΒ γωνία τῇ ὑπὸ ΔΝΕ γωνίᾳ. καὶ ἐπεὶ δύο τμήματα κύκλων ἴσα ἐστὶ τὰ ΑΗΓ, ΔΘΖ, καὶ ἀπειλημμέναι εἰσὶν ἴσαι περιφέρειαι αἱ ΑΗ, ΔΘ, καὶ κάθετοι ἠγμέναι εἰσὶν αἱ ΚΗ, ΘΛ, ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΚ τῇ ΔΛ, ἡ δὲ ΗΚ τῇ ΘΛ. ἐπεὶ οὖν ἡ ΑΜ τῇ ΔΝ ἐστιν ἴση, ὧν ἡ ΑΚ τῇ ΔΛ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ΚΜ λοιπῇ τῇ ΛΝ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΒΜ τῇ ΝΕ ἴση· δύο δὴ αἱ ΚΜ, ΜΒ δύο ταῖς ΛΝ, ΝΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ γωνία ἡ ὑπὸ ΚΜΒ γωνίᾳ τῇ ὑπὸ ΛΝΕ ἐστιν ἴση· βάσις ἄρα ἡ ΚΒ βάσει τῇ ΛΕ ἐστιν ἴση. καὶ ἐπεὶ ἡ ΗΚ ὀρθή ἐστι πρὸς τὸ τοῦ ΑΒΓ κύκλου ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς ἡ ΚΒ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΗΚΒ γωνία. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΘΛΕ γωνία ὀρθή ἐστιν. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΗΚ τῇ ΘΛ, ἡ δὲ ΚΒ τῇ ΛΕ, δύο δὴ αἱ ΗΚ, ΚΒ δύο ταῖς ΘΛ, ΛΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ ὀρθὰς γωνίας περιέχουσιν· βάσις ἄρα ἡ ΗΒ βάσει τῇ ΘΕ ἐστιν ἴση.

ιγʹ.


Ἐὰν ὦσιν ἐν σφαίρᾳ παράλληλοι κύκλοι, καὶ γραφῶσι μέγιστοι κύκλοι ἑνὸς μὲν αὐτῶν ἐφαπτόμενοι, τοὺς δὲ λοιποὺς τέμνοντες, αἱ μὲν τῶν

1 ἴσα? **D**. περιφέρειαι] **E**, om. **ABCDF**, post ἀπειλήφθωσαν supra add. **A**². ἐπὶ—περιφέρειαι (3)] om. **D**. πρὸς] **E**, om. **ABCF**. 2 πέρασιν **A**. ΔΘ] ΘΔ **B**. ἢ] supra scr. **A**. ἡμίσιαι **A**. 3 τμημάτων] **BEA**², supra add. **FC**², ἡμικυκλίων **ACF**. 4 πρὸς] **E**, om. **ABCDF**. 5 λέγω] λέγω δὴ **E**. 7 αἱ ΗΚ] e corr. **A**. 8 ΔΖ] ΔΕΖ **E**. εἰλήφθω **DF**. 9 καὶ (alt.)] om. **E**. 10 ΔΕ] δὲ **E**. ἐστὶ] **BD**, comp. **C**, ἐστὶν **AEF**. 11 ΔΕΝ **C**. δύο] corr. ex δὲ **C**. 12 τὰ] τῶ **B**. Post εἰσὶν del. ἡ ΚΗ, ΘΛ ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΚ **C**². 13 ΘΛ] ΛΘ **E**. 15 post ΔΛ del. ἡ δὲ ΗΚ τῇ ΘΛ **C**². 16 ΝΕ] in ras. **A**, -Ε e corr. **E**. δύο (alt.)] mut. in δυσὶ **A**², δυσὶ mg. **C**². ΛΝ] ΛΜ **AD**, corr. **A**². 17 ἴσαι] seq. ras. 1 litt. **E**. γωνία—βάσει (18)] βάσις ἡ ΚΒ βάσει τῇ ΛΕ ἴση ἐστίν· γωνία ἄρα ἡ ὑπὸ ΚΜΒ $\overset{\omega}{\gamma}$ τῇ ὑπὸ ΛΝΕ ἐστιν ἴση· λοιπὴ ἄρα (-ὴ ἀ- in ras.) ἡ ΚΒ λοιπῇ **E**. 19 ΗΚ] Η- e corr. **A**. κύκλου] om. **E**. 21 post ΚΒ ins. οὖσα ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ mg. **A**² (κείμενον). 22 ΗΚΒ] Η- in

segmentorum abscindantur ΑΗ, ΔΘ minores quam dimidii totorum segmentorum, a circulis autem ΑΒΓ, ΔΕΖ ad easdem partes ad terminos diametrorum aequales arcus abscindantur ΑΒ, ΔΕ, et iungantur ΗΒ, ΘΕ. dico, esse ΗΒ = ΘΕ.

a punctis enim Η, Θ ad plana circulorum ΑΒΓ, ΔΕΖ perpendiculares ducantur ΗΚ, ΘΛ; in communes igitur sectiones cadent (Eucl. XI app. I 3), hoc est in ΑΓ, ΔΖ, et sumantur centra circulorum (Eucl. III 1) et sint puncta Μ, Ν, et iungantur ΚΒ, ΒΜ, ΛΕ, ΕΝ.

et quoniam arcus ΑΒ arcui ΔΕ aequalis est, erit etiam ∠ΑΜΒ = ∠ΔΝΕ (Eucl. III 27). et quoniam duo segmenta circulorum aequalia sunt ΑΗΓ, ΔΘΖ, et arcus aequales abscisi sunt ΑΗ, ΔΘ, et perpendiculares ductae sunt ΚΗ, ΘΛ, erit ΑΚ = ΔΛ, ΗΚ = ΘΛ (Eucl. III 29; I 26). quoniam igitur ΑΜ = ΔΝ, quarum ΑΚ = ΔΛ, erit, quae relinquitur, ΚΜ = ΛΝ, quae relinquitur. uerum etiam ΒΜ = ΝΕ; duae igitur ΚΜ, ΜΒ duabus ΛΝ, ΝΕ aequales sunt singulae singulis. et ∠ΚΜΒ = ∠ΛΝΕ (Eucl. III 27); quare basis ΚΒ basi ΛΕ aequalis est (Eucl. I 4). et quoniam ΗΚ ad planum circuli ΑΒΓ perpendicu-



laris est, etiam ad omnes rectas eam tangentes et in plano circuli ΑΒΓ positas rectos angulos efficiet (Eucl. XI def. 3). tangit autem eam ΚΒ; ∠ΗΚΒ igitur rectus est. similiter igitur demonstrabimus, etiam ∠ΘΛΕ rectum esse. quoniam igitur ΗΚ = ΘΛ et ΚΒ = ΛΕ, duae ΗΚ, ΚΒ duabus ΘΛ, ΛΕ aequales sunt singulae singulis. et rectos angulos comprehendunt; ergo basis ΗΒ basi ΘΕ aequalis est (Eucl. I 4).

XIII.

Si in sphaera paralleli circuli sunt, et circuli maximi describuntur unum eorum contingentes, ceteros autem secantes,

ras. **A**. 24 ΚΒ (pr.)] Κ- in ras. **A**. ΛΕ] Λ- in ras. **A**, ΔΕ **E**. δὴ] renouat. in δὲ **C**². ΚΒ, ΗΚ **B**. δύο] mut. in δυσὶ **A**². 25 περιέχουσιν] **A**, περιέχουσι **BCDEF**. 26 ἴση] ἴση· ὅπερ ἔδει δεῖξαι **E**. In fig. Ε e corr. **C**, Δ corr. ex Α, Ν e corr. **C**², adscr. τοῦ $\overline{\iota\gamma}$ **C**, corr. in τοῦ $\overline{\iota\beta}$ **C**². 27 ιγʹ] mg. ext. **B**². 28 γραφῶσιν **A**, γραφῶσι̅ **C**.

παραλλήλων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων τῶν μεγίστων κύκλων ὅμοιαί εἰσιν, αἱ δὲ τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων ἴσαι εἰσίν.

ἔστωσαν ἐν σφαίρᾳ παράλληλοι κύκλοι οἱ ΑΒΓΔ, ΕΖΗΘ, ΚΛ, καὶ γεγράφθωσαν μέγιστοι κύκλοι οἱ ΑΕΚΗΓΦΤ, ΒΖΛΘΔϒ ἑνὸς μὲν αὐτῶν τοῦ ΚΛ ἐφαπτόμενοι κατὰ τὰ Κ, Λ σημεῖα, τοὺς δὲ λοιποὺς τέμνοντες. λέγω, ὅτι αἱ μὲν τῶν παραλλήλων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων τῶν μεγίστων κύκλων ὅμοιαί εἰσιν.

τίνες δέ εἰσιν αἱ μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων, γνωσόμεθα οὕτως·

ἐπεὶ ἐν σφαίρᾳ οἱ μέγιστοι κύκλοι δίχα τέμνουσιν ἀλλήλους, ἡ ἄρα ΣΚΑΤ ἡμικυκλίου ἐστὶ περιφέρεια· ἡ ΚΑΤ ἄρα ἐλάσσων ἐστὶν ἡμικυκλίου. πάλιν, ἐπεὶ ἡ ΤΦΓΣ ἡμικυκλίου ἐστὶ περιφέρεια, ἡ ἄρα ΚΣΗΓΦΤ μείζων ἐστὶν ἡμικυκλίου. ἀλλὰ μὴν καὶ ἡ ΚΑΤ ἐλάσσων ἐστὶν ἡμικυκλίου· ἔστω οὖν ἡμικυκλίου ἡ ΚΑΤΦ. πάλιν, ἐπεὶ ἡ ΣΒΤ ἡμικυκλίου ἐστὶ περιφέρεια, ἡ ἄρα ΛΣΒΤ μείζων ἐστὶν ἡμικυκλίου. κείσθω οὖν ἡμικυκλίου ἡ ΛΣΒϒ· τὸ ἄρα ἀπὸ τοῦ Κ ἡμικύκλιον, τουτέστι τὸ ΚΑΤΦ, ἀσύμπτωτόν ἐστι τῷ ἀπὸ τοῦ Λ ἡμικυκλίῳ, τουτέστι τῷ ΛΣΒϒ. ὁμοίως δὴ καὶ τὸ ΚΣΓΦ ἡμικύκλιον ἀσύμπτωτόν ἐστι τῷ ΛΔΤϒ ἡμικυκλίῳ· αἱ ἄρα μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων τῶν μεγίστων κύκλων οὖσαι τῶν παραλλήλων κύκλων περιφέρειαι αἱ ΚΡΛ, ΕΞΖ, ΑΝΒ, ΗΟΘ, ΓΠΔ περιφέρειαί εἰσιν.

λέγω οὖν, ὅτι αἱ μὲν ΚΡΛ, ΕΞΖ, ΑΝΒ ὅμοιαί εἰσι καὶ ἔτι αἱ ΚΡΛ, ΗΟΘ, ΓΠΔ ὅμοιαι ἀλλήλαις εἰσίν, αἱ δὲ τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων κύκλων ἴσαι εἰσί, τουτέστιν ὅτι αἱ μὲν τέσσαρες αἱ ΕΚ, ΚΗ, ΖΛ, ΛΘ ἴσαι ἀλλήλαις εἰσίν, αἱ δὲ τέσσαρες αἱ ΑΕ, ΒΖ, ΗΓ, ΘΔ ἴσαι ἀλλήλαις εἰσίν.

εἰλήφθω γὰρ ὁ πόλος τῶν παραλλήλων κύκλων καὶ ἔστω τὸ Μ σημεῖον, καὶ διὰ τοῦ Μ καὶ ἑκατέρου τῶν Κ, Λ σημείων μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΜΚΞΝ, ΜΛΟΠ.

καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο κύκλοι οἱ ΑΕΚΗΓΤ, ΚΛ ἐφάπτονται ἀλλήλων κατὰ τὸ Κ σημεῖον, διὰ δὲ τῶν τοῦ ἑνὸς πόλων τοῦ ΚΛ καὶ τῆς ἁφῆς μέγιστος κύκλος γέγραπται ὁ ΜΚΞΝ, ὁ ΜΚΞΝ ἄρα κύκλος

1 αἱ] in ras. **A**. μεταξὺ] με| postea add. **A**. ἀσύμπτωτ` **C**, sed corr. 3 παραλλήλων] παραλλήλων κύκλων **E**. εἰσίν] supra scr. ἴσαι **D**. 5 κύκλοι] comp. **C**, om. **BD**. ΑΕΚΗΓΦΤ] -ΕΚ- e corr. **A²**. ΒΖΛΘΔϒ] -ϒ in ras. **A**. 8 ὅμοιαί] -αί in ras. **E**. εἰσιν] **A**, εἰσι **BCDF** et εἰ- in ras. **E**. 11 οἱ] om. **A**. 14 ΚΣΗΓΦΤ] -ΣΗ- in ras. 3 litt. **C²**, ΚΣΓΦΤ **E**; Κ*ΗΓΦΤ, -Η- in ras. **D**. ἀλλὰ—pr. ἡμικυκλίου (15)] mg. **C²** (κείμενον). ΚΑΤ] κατα **E**. 15 ἡ (pr.)] καὶ ἡ **E**. ΣΒΤ] Σ- corr. ex Β in scrib. **C**. 16 ἐστὶν **E**. περιφέρεια] om. **E**. 18 τουτέστιν **A**. ΚΑΤΦ] -Α- e corr. in scrib. **C**. Λ] in ras. **D**. 19 τουτέστιν **A**. τῷ] corr. ex τὸ **B**. ΚΣΓΦ] mut. in

arcus circulorum parallelorum inter semicirculos non concurrentes circulorum maximorum positi similes sunt, arcus autem circulorum maximorum inter parallelos positi aequales sunt.

sint in sphaera circuli paralleli ΑΒΓΔ, ΕΖΗΘ, ΚΛ, et describantur circuli maximi ΑΕΚΗΓΦΤ, ΒΖΛΘΔϒ unum eorum ΚΛ contingentes in punctis Κ, Λ, ceteros autem secantes. dico, arcus circulorum parallelorum inter semicirculos non concurrentes circulorum maximorum positos similes esse.

quinam autem sint arcus inter semicirculos non concurrentes positi, intellegemus hoc modo:

quoniam in sphaera circuli maximi in binas partes aequales inter se secant (I 11), ΣΚΑΤ arcus semicirculi est; ΚΑΤ igitur minor est semicirculo. rursus, quoniam ΤΦΓΣ arcus est semicirculi, ΚΣΗΓΦΤ maior est semicirculo. uerum etiam ΚΑΤ minor est semicirculo; sit igitur ΚΑΤΦ arcus semicirculi. rursus, quoniam ΣΒΤ semicirculi est arcus, ΛΣΒΤ maior est semicirculo; ponatur igitur semicirculi arcus ΛΣΒϒ. semicirculus igitur a Κ ductus, hoc est ΚΑΤΦ, cum semicirculo ab Λ ducto, hoc est ΛΣΒϒ, non concurrit. similiter igitur etiam semicirculus ΚΣΓΦ cum semicirculo ΛΔΤϒ non concurrit; arcus igitur circulorum parallelorum inter semicirculos circulorum maximorum non concurrentes positi arcus ΚΡΛ, ΕΞΖ, ΑΝΒ, ΗΟΘ, ΓΠΔ sunt.

dico igitur, arcus ΚΡΛ, ΕΞΖ, ΑΝΒ similes esse, et praeterea ΚΡΛ, ΗΟΘ, ΓΠΔ inter se similes esse, maximorum autem circulorum arcus inter circulos parallelos positos aequales esse, hoc est quattuor arcus ΕΚ, ΚΗ, ΖΛ, ΛΘ inter se aequales esse, et quattuor ΑΕ, ΒΖ, ΗΓ, ΘΔ inter se aequales.

sumatur enim polus circulorum parallelorum (I 21) et sit punctum Μ, et per Μ punctumque utrumque Κ, Λ circuli maximi describantur (I 20) ΜΚΞΝ, ΜΛΟΠ.

et quoniam in sphaera duo circuli ΑΕΚΗΓΤ, ΚΛ inter se contingunt in puncto Κ, per alterius autem ΚΛ polos punctumque contactus descriptus est circulus maximus ΜΚΞΝ, circulus

ΚΣΗΓΦ **A²**. 20 ἔστιν **A**. ΛΔΤϒ] Λ- in ras. **D**. 22 ΗΟΘ] Η- corr. ex Ν? **C²**. περιφέρειαί] om. **E**. εἰσιν] **AF**, εἰσι **BCDE**. 23 εἰσιν **A**, εἰσῖ ·b. **C**. καὶ—εἰσίν (24)] mg. **C** (κείμενον). 24 ΚΡΛ] -Λ in ras **D**, corr. ex Α **A**. 25 αἱ] **BEA²**, om. **ACDF**. ἴσαι] om. **D**. εἰσίν **A**. 26 μὲν ·b. **C**. τέσσαρες—αἱ δὲ] mg. **C** (·b., Δ̈'). 27 post εἰσίν del. αἱ δὲ τέσσαρες αἱ ΑΕ, ΒΖ, ΗΓ **C**. 31 δύο] om. **F**. οἱ] δύο οἱ in ras. **F**. ΑΕΚΗΓΤ] **BE**, ΑΕ- in ras. **F**, pro -Ε- ras. 1 litt. **C**, -ΓΤ in ras. **D**; ΑΕΚΗΓΦ **A**, -ΓΦ e corr. seq. ras. 2 litt. 33 ΜΚΞϒ **C**, corr. **C²**. ΜΚΞϒ **C**, corr. **C²**. κύκλος] -ύκλ- in ras. **E**.


καὶ διὰ τῶν τοῦ ΑΕΚΗΓΤ ἥξει πόλων καὶ ἔσται ὀρθὸς πρὸς αὐτόν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ὁ ΜΛΟΠ ἥξει διὰ τῶν τοῦ ΒΖΛΘΔΤ πόλων καὶ ἔσται ὀρθὸς πρὸς αὐτόν. καὶ ἐπεὶ ἐν ἴσοις κύκλοις τοῖς ΑΕΚΗΓΤ, ΒΖΛΘΔΤ ἐπὶ διαμέτρων τῶν ἀπὸ τῶν Κ, Λ σημείων ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐφέσταται τὰ ΚΜ, ΛΜ καὶ τὰ τούτοις συνεχῆ, ἀπὸ δὲ αὐτῶν ἴσαι περιφέρειαι ἀπειλημμέναι εἰσὶν αἱ ΚΜ, ΜΛ ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων, καί ἐστιν ἡ ἀπὸ τοῦ Μ ἐπὶ τὸ Α ἐπιζευγνυμένη εὐθεῖα ἴση τῇ ἀπὸ τοῦ Μ ἐπὶ τὸ Δ ἐπιζευγνυμένῃ εὐθείᾳ, ἴσας ἄρα περιφερείας ἀπολήψονται· ἴση ἄρα ἐστὶν ἡ ΑΚ περιφέρεια τῇ ΛΔ περιφερείᾳ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΕΚ τῇ ΛΘ ἔσται ἴση. καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο κύκλοι οἱ ΑΒΓΔ, ΑΕΚΗΓΤ τέμνουσιν ἀλλήλους, διὰ δὲ τῶν πόλων αὐτῶν μέγιστος κύκλος γέγραπται ὁ ΜΚΞΝ, ὁ ΜΚΞΝ ἄρα δίχα τεμεῖ τὰ ἀπειλημμένα τμήματα· ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΕΚ περιφέρεια τῇ ΚΗΓ περιφερείᾳ, ἡ δὲ ΑΝ τῇ ΝΓ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ μὲν ΒΛ τῇ ΛΔ ἐστιν ἴση, ἡ δὲ ΒΠ τῇ ΠΔ.

ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕΚ περιφέρεια τῇ ΛΘΔ περιφερείᾳ, καί ἐστι τῆς μὲν ΑΕΚ περιφερείας διπλῆ ἡ ΑΕΚΗΓ περιφέρεια, τῆς δὲ ΛΘΔ περιφερείας διπλῆ ἡ ΔΘΛΒ, καὶ ἡ ΑΕΚΗΓ ἄρα ἴση ἐστὶ τῇ ΔΘΛΒ. καί εἰσιν ἴσοι οἱ κύκλοι· μέγιστοι γάρ εἰσιν· ἡ ἄρα ἀπὸ τοῦ Α ἐπὶ τὸ Γ ἐπιζευγνυμένη εὐθεῖα ἴση ἐστὶ τῇ ἀπὸ τοῦ Δ ἐπὶ τὸ Β ἐπιζευγνυμένῃ εὐθείᾳ, καὶ διὰ τοῦτο ἡ ΑΒΓ περιφέρεια ἴση ἐστὶ τῇ ΔΓΒ περιφερείᾳ. καί ἐστι τῆς μὲν ΑΒΓ περιφερείας ἡμίσεια ἡ ΑΝ, τῆς δὲ ΒΠΔ ἡμίσεια ἡ ΒΠ· καὶ ἡ ΑΝ ἄρα τῇ ΒΠ ἴση ἐστίν. κοινὴ

---

1 διὰ] om. **B**. ΑΕΚΗΓΤ] ΑΕΗΓΤ **C**; ΑΕΚΗΓ **A**, mut. in ΑΕΚΗΓΦ. αὐτόν] corr. ex αὐτό **C**. 2 ὁμοίως—αὐτόν (3)] om. **CD**. post ἥξει ins. καὶ **A**². 3 πόλων] corr. ex πόλου (?) **A**². 4 ΑΕΚΗΓΤ] -Κ- e corr. **A**²; deinde add. μέγιστοι γάρ εἰσι **E**. ΒΖΛΘΔΤ] seq. ras. **A**. ἀπὸ τῶν] supra scr. **B**. 5 ἐφέσταται] mut. in ἐφίσταται **B**. 7 καὶ—ΠΔ (15)] τοῦ παντὸς κύκλου **E**. τὸ] τοῦ **F**. 12 ΜΚΞΝ] -Ξ- in ras **F**. 16 ΑΕΚ] ΔΕΚ, Δ- e corr., **C**. Post περιφέρεια del. διπλῆ ἡ ΔΘΛΒ **C**². 17 ἐστιν **A**. ΑΕΚ] corr. ex ΛΕΚ **F**. ἡ—διπλῆ (18)] mg. **F**² (⁖, κείμενον). ΑΕΚΗΓ] -ΗΓ ex initio lin. seq. transposuit **A**². 18 ΔΘΛΒ] ΒΖΛΘΔ in ras. **A**². In fig. punctum Σ in ambitu circuli ΕΞΟΘ collocant codd., Ο mut. in Η **B**², Η adpos. **B**²; Κ] Μ **E**, qui multas ras. hab., mg. τὸ σχῆμα τοῦτο ζήτει βέλτιον ἐπὶ τοῦ τέλους τοῦ βιβλίου, f. 141ᵛ fig. repet., ΜΝ et ΜΠ rectae sunt, pro Κ hab. Μ, add. σχῆμα τοῦ $\overline{\iota\delta}$ κεφ' τοῦ θεοδοσίου σφαιρικῶν βᵒ; omnes litterae praeter Μ, Δ, Π, Β, Γ e corr. **C**², adscr. τοῦ $\overline{\iota\delta}$ **C**, corr. in τοῦ $\overline{\iota\gamma}$ **C**². ἴση] ἴ- in ras. mai. **A**. ἐστὶν **A**, comp. **C**. 19 ΔΘΛΒ] ΒΖΛΘΔ in ras. **A**². εἰσιν] e corr. **E**. 21 τοῦᵀ **C**. ἡ] inter duas ras. 1 litt. **A**, ʿ add. **A**². ΑΒΓ] ΑΓ **AD**, corr. **A**². ἴση] om. **E**. ἐστὶ] ἐστὶν **A**, ἐστι̅ **C**, om. **E**. 22 ΔΓΒ] ΔΓ- in ras. **E**, ΔΒ **AD**, corr. **A**². περιφερείᾳ] περιφερείᾳ ἐστὶν ἴση **E**. τῆς] corr. ex τῇ **E**. 23 ΒΠΔ] mut. in ΒΓΔ **A**². τῇ] -ῇ e corr. **C**². ἴση] om. **E**. ἐστίν] **AE**, comp. **C**, ἐστί **BDF**.

ΜΚΞΝ etiam per polos circuli ΑΕΚΗΓΤ ueniet (prop. V) et ad eum perpendicularis erit (I 15). similiter igitur demonstrabimus, etiam circulum ΜΛΟΠ per polos circuli ΒΖΛΘΔΤ uenire et ad eum perpendicularem esse. et quoniam in aequalibus circulis ΑΕΚΗΓΤ, ΒΖΛΘΔΤ in diametris a punctis Κ, Λ ductis aequalia et perpendicularia segmenta circulorum erecta sunt ΚΜ, ΛΜ, et quae cum iis coniuncta sunt, ab iis autem abscisi sunt arcus aequales ΚΜ, ΜΛ minores quam dimidii totorum, et recta ab



Μ ad Α ducta rectae ab Μ ad Δ ductae aequalis est (I def. 5), aequales arcus abscindent (prop. XI); itaque arcus ΑΚ arcui ΛΔ aequalis est. eadem igitur de causa erit etiam ΕΚ = ΛΘ. et quoniam in sphaera duo circuli ΑΒΓΔ, ΑΕΚΗΓΤ inter se secant, per polos autem eorum circulus maximus ΜΚΞΝ descriptus est, ΜΚΞΝ segmenta abscisa in binas partes aequales secabit (prop. IX); itaque arcus ΑΕΚ arcui ΚΗΓ aequalis est et ΑΝ = ΝΓ. similiter igitur demonstrabimus, esse etiam ΒΛ = ΛΔ et ΒΠ = ΠΔ.

quoniam igitur arcus ΑΕΚ arcui ΛΘΔ aequalis est, et arcu ΑΕΚ duplo maior est ΑΕΚΗΓ, arcu autem ΛΘΔ duplo maior ΔΘΛΒ, erit etiam ΑΕΚΗΓ = ΔΘΛΒ. et circuli aequales sunt — maximi enim —; itaque recta ab Α ad Γ ducta rectae a Δ ad Β ductae aequalis est (Eucl. III 29), ideoque arcus ΑΒΓ arcui ΔΓΒ aequalis est (Eucl. III 28). et arcus ΑΒΓ dimidius est ΑΝ, arcus autem ΒΠΔ dimidius ΒΠ; quare etiam ΑΝ = ΒΠ.

προσκείσθω ἡ ΝΒ· ὅλη ἄρα ἡ ΑΝΒ ὅλῃ τῇ ΝΒΠ ἐστιν ἴση. καί εἰσι τοῦ αὐτοῦ κύκλου· ὁμοία ἄρα ἐστὶν ἡ ΑΝΒ περιφέρεια τῇ ΝΒΠ περιφερείᾳ. ἀλλ' ἡ ΝΒΠ τῇ ΚΛ ἐστιν ὁμοία· ἐὰν γὰρ ὦσιν ἐν σφαίρᾳ παράλληλοι κύκλοι, διὰ δὲ τῶν πόλων αὐτῶν μέγιστοι κύκλοι γραφῶσιν, αἱ τῶν παραλλήλων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν μεγίστων κύκλων ὅμοιαί εἰσιν· καί εἰσιν αἱ ΚΛ, ΝΒΓΠ περιφέρειαι τῶν παραλλήλων κύκλων μεταξὺ οὖσαι τῶν μεγίστων τῶν ΜΝ, ΜΠ διὰ τῶν πόλων αὐτῶν ὄντων· καὶ ἡ ΑΝΒ ἄρα τῇ ΚΛ ἐστιν ὁμοία. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΕΞΖ τῇ ΚΛ ἐστιν ὁμοία· καὶ ἡ ΑΒ ἄρα τῇ ΕΖ ὁμοία ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΓΠΔ τῇ ΗΟΘ ἐστιν ὁμοία. αἱ ἄρα τῶν παραλλήλων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων τῶν μεγίστων κύκλων ὅμοιαί εἰσιν.

λέγω δέ, ὅτι καὶ αἱ τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων ἴσαι εἰσίν.

ἐπεὶ γὰρ αἱ τέσσαρες αἱ ΑΕΚ, ΚΗΓ, ΒΖΛ, ΛΘΔ περιφέρειαι ἴσαι ἀλλήλαις εἰσίν, ὧν αἱ τέσσαρες αἱ ΕΚ, ΚΗ, ΖΛ, ΛΘ ἴσαι ἀλλήλαις εἰσίν [ὁμοίως γὰρ ὁ ΚΝ κύκλος μέγιστος ὢν δίχα τέμνει τὰ ἀπειλημμένα τμήματα τὰ ΕΚΗ, ΕΞΗ καὶ τὰ ΖΛΘ ΖΟΘ· ὥστε ἴση ἐστὶν ἡ ΕΚ τῇ ΚΗ. ἀλλ' ἡ ΕΚ τῇ ΛΘ ἐδείχθη ἴση· καὶ ἡ ΚΗ ἄρα τῇ ΛΘ ἐστιν ἴση. ἀλλ' ἡ ΘΛ τῇ ΛΖ ἐστιν ἴση· καὶ ἡ ΛΖ ἄρα τῇ ΚΗ ἐστιν ἴση. αἱ τέσσαρες ἄρα αἱ ΕΚ, ΚΗ, ΖΛ ΛΘ ἴσαι εἰσίν], λοιπαὶ ἄρα αἱ τέσσαρες αἱ ΑΕ, ΒΖ, ΓΗ, ΘΔ ἴσαι ἀλλήλαις εἰσίν. αἱ ἄρα τῶν μεγίστων κύκλων περιφέρειαι αἱ μεταξὺ τῶν παραλλήλων κύκλων ἴσαι εἰσίν.

ιδ'.

Κύκλου δοθέντος ἐν σφαίρᾳ ἐλάττονος τοῦ μεγίστου καὶ σημείου τινὸς ἐπὶ τῆς περιφερείας αὐτοῦ γράψαι διὰ τοῦ σημείου μέγιστον κύκλον ἐφαπτόμενον τοῦ δοθέντος.

ἔστω ὁ δοθεὶς ἐν σφαίρᾳ κύκλος ὁ ΑΒ ἐλάσσων ὢν τοῦ μεγίστου, τὸ δὲ δοθὲν σημεῖον ἐπὶ τῆς περιφερείας αὐτοῦ ἔστω τὸ Β· δεῖ δὴ διὰ τοῦ Β σημείου γράψαι μέγιστον κύκλον ἐφαπτόμενον τοῦ ΑΒ κύκλου.

ἔστω γὰρ ὁ πόλος τοῦ ΑΒ κύκλου τὸ Γ σημεῖον, καὶ διὰ τῶν Γ,

1 προκείσθω **F**. ΝΒ] ΝΓΒ **E**. ΑΝΒ] ΑΝ- in ras. **A**. 2 εἴσιν **A**. ἐστὶ **C**. 3 ἡ] ἡ μὲν **C**. 6 εἴσιν (pr.)] **A**, εἰσι **BCDEF**. καί εἴσιν] ins. **A**^{2}. 8 ὄντων] || τῶν παραλλήλων ὄντων τῶν μεγίστων **E**. 9 τῇ ΚΛ ἐστιν ὁμοία] mg. **A**. ΑΒ] ΑΝΒ **E**. ἐστιν ὁμοία **E**. ἐστίν] mut. in ἐστὶ καὶ ἔτι **A**^{2}, comp. **C**. 10 δὴ] del. **A**^{2}. ΗΟΘ] ΗΟΘ καὶ τῇ ΚΡΛ **E**. 11 post τῶν del. παραλλήλων **C**. 12 ὅμοιαί—κύκλων (13)] mg. **C**. 13 δέ] γάρ **C**. 14 παραλλήλων] παραλλήλων κύκλων **E**. 15 Δ' **C**, ut solet. ἴσαι] ἴ- in ras. **A**. 16 ἄλλ$^{\text{αις}}$ **F**. 17 ὁμοίως—εἰσίν (21)] del. Nizze, recte. γὰρ] in ras. **A**. ὁ] mut. in οἱ **A**^{2}. Post ΚΝ add. ΛΠ **A**^{2}. κύκλος—ὢν] mut. in μέγιστοι

communis adiiciatur ΝΒ; itaque tota ΑΝΒ toti ΝΒΠ aequalis est. et eiusdem circuli sunt; itaque arcus ΑΝΒ arcui ΝΒΠ similis est. uerum ΝΒΠ arcui ΚΛ similis est (prop. X); si enim in sphaera paralleli circuli sunt, et per polos eorum circuli maximi describuntur, arcus circulorum parallelorum inter circulos maximos positi similes sunt; et arcus ΚΛ, ΝΒΓΠ circulorum parallelorum sunt inter circulos maximos ΜΝ, ΜΠ per polos eorum ductos positi; quare etiam arcus ΑΝΒ arcui ΚΛ similis est. similiter igitur demonstrabimus, etiam arcum ΕΞΖ arcui ΚΛ similem esse; quare etiam arcus ΑΒ arcui ΕΖ similis est. similiter igitur demonstrabimus, etiam arcum ΓΠΔ arcui ΗΟΘ similem esse. ergo arcus circulorum parallelorum inter semicirculos non concurrentes circulorum maximorum positi similes sunt.

dico autem, etiam arcus circulorum maximorum inter parallelos positos aequales esse.

quoniam enim quattuor arcus ΑΕΚ, ΚΗΓ, ΒΖΛ, ΛΘΔ inter se aequales sunt, quorum quattuor arcus ΕΚ, ΚΗ, ΖΛ, ΛΘ inter se aequales sunt [similiter enim circulus maximus ΚΝ segmenta abscisa ΕΚΗ, ΕΞΗ et ΖΛΘ, ΖΟΘ in binas partes aequales secat (prop. IX); quare ΕΚ = ΚΗ. demonstrauimus autem, esse ΕΚ = ΛΘ; quare etiam ΚΗ = ΛΘ. uerum ΘΛ = ΛΖ; quare etiam ΛΖ = ΚΗ. quattuor igitur arcus ΕΚ, ΚΗ, ΖΛ, ΛΘ aequales sunt], reliqui quattuor ΑΕ, ΒΖ, ΓΗ, ΘΔ inter se aequales sunt. ergo arcus circulorum maximorum inter circulos parallelos positi aequales sunt.

XIV.

Dato in sphaera circulo minore quam maximo punctoque aliquo in ambitu eius per hoc punctum circulum maximum describere datum circulum contingentem.

sit datus in sphaera circulus ΑΒ minor maximo, punctum autem in ambitu eius datum sit Β; oportet igitur per punctum Β circulum maximum describere circulum ΑΒ contingentem.

polus enim circuli ΑΒ sit punctum Γ, et per puncta Γ, Β

κύκλοι ὄντες **A**^{2}. τέμνει] mut. in τέμνουσι **A**^{2}. 19 ἐδείχθη] ἐστιν **E**. καὶ] ὥστε καὶ **E**. ΚΗ (alt.)] e corr. **C**, ΗΚ **E**. ἄρα] om. **E**. 19. 20 ἴση ἐστίν **E**. 20 ΚΗ] ΗΚ **E**. 21 τέσσαρες] δ$^{\text{εσ}}$ **D**, Δ' **C**. ἴσα **D**. εἰσίν] **A**, εἰσί **BCDEF**. λοιπαὶ—εἰσίν (22)] del. Nizze, iniuria. 22 δ$^{\text{εσ}}$ **D**, Δ' **C**. εἰσίν] corr. ex εἰσί **F**. 24 ἴσαι] -α- e corr. in scrib. **A**. εἰσί **B**. 25 ιδ'] mg. ext. **B**^{2}. 30 δὲ] supra scr. **A**^{2}. δὴ] postea ins. **A**. 32 ἔστω—κύκλου] om. **D**. ἔστω] mut. in εἰλήφθω **A**^{2}. Ante τὸ supra add. καὶ ἔστω **A**^{2}.

B σημείων μέγιστος κύκλος γεγράφθω ὁ ΓΒΔ, καὶ τῇ, ὑφ' ἣν ὑποτείνει ἡ τοῦ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου ἴση ἀπειλήφθω ἡ ΔΒ [οὐ γὰρ ἐγχωρεῖ τὴν ΒΓ εἶναι τεταρτημορίου· ἔσται γὰρ μέγιστος ὁ ΑΒ, ὅπερ οὐχ ὑπόκειται· οὐκ ἄρα ἡ ΓΒ τεταρτημορίου], καὶ πόλῳ μὲν τῷ Δ, διαστήματι δὲ τῷ ΔΒ, κύκλος γεγράφθω ὁ ΕΒΖ· μέγιστος ἄρα ἐστὶν ὁ ΕΒΖ· ἡ γὰρ ἐκ τοῦ πόλου αὐτοῦ ἴση ἐστὶ τῇ τοῦ τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου. καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο κύκλοι οἱ ΑΒ, ΕΒΖ μεγίστου τινὸς κύκλου περιφέρειαν τοῦ ΓΒΔ κατὰ τὸ αὐτὸ σημεῖον τὸ Β τέμνουσι τοὺς πόλους ἔχοντες ἐπ' αὐτοῦ, ἐφάψονται ἀλλήλων οἱ κύκλοι· ἐφάψεται ἄρα ὁ ΑΒ κύκλος τοῦ ΕΒΖ κύκλου. διὰ ἄρα τοῦ δοθέντος σημείου τοῦ Β γέγραπται μέγιστος κύκλος ὁ ΕΒΖ ἐφαπτόμενος τοῦ ΑΒ κύκλου κατὰ τὸ Β σημεῖον.

ιε'.

Κύκλου δοθέντος ἐν σφαίρᾳ ἐλάσσονος τοῦ μεγίστου καὶ σημείου τινὸς ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας, ὅ ἐστι μεταξὺ αὐτοῦ τε καὶ τοῦ ἴσου τε καὶ παραλλήλου αὐτῷ, γράψαι διὰ τοῦ σημείου μέγιστον κύκλον ἐφαπτόμενον τοῦ δοθέντος κύκλου.

ἔστω ὁ δοθεὶς ἐν σφαίρᾳ κύκλος ἐλάσσων τοῦ μεγίστου ὁ ΑΒ, τὸ δὲ δοθὲν σημεῖον ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας, ὅ ἐστι μεταξὺ αὐτοῦ τε τοῦ ΑΒ καὶ τοῦ ἴσου τε καὶ παραλλήλου αὐτῷ, ἔστω τὸ Γ· δεῖ δὴ διὰ τοῦ Γ σημείου γράψαι μέγιστον κύκλον ἐφαπτόμενον τοῦ ΑΒ κύκλου.


εἰλήφθω γὰρ ὁ πόλος τοῦ ΑΒ κύκλου καὶ ἔστω τὸ Δ σημεῖον, καὶ πόλῳ μὲν τῷ Δ, διαστήματι δὲ τῷ ΔΓ, κύκλος γεγράφθω ὁ ΓΕΖΗ, καὶ διὰ τῶν Δ, Γ σημείων μέγιστος κύκλος γεψράφθω ὁ ΔΓΘ.

ἡ δὴ ΒΓ ἤτοι ἐλάττων ἐστὶ τῆς, ὑφ' ἣν ὑποτείνει ἡ τοῦ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου, ἢ ἴση ἢ μείζων.

ἔστω πρῶτον ἐλάττων, καὶ τῇ, ὑφ' ἣν ὑποτείνει ἡ τοῦ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου, ἴση περιφέρεια ἀπειλήφθω ἡ ΒΘ, καὶ πόλῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΒΘ, κύκλος γεγράφθω ὁ ΕΒΗ· μέγιστος ἄρα ἐστὶν ὁ ΕΒΗ κύκλος· ἡ γὰρ ἐκ τοῦ

1 μέγιστος κύκλος] mut. in μεγίστου κύκλου περιφέρεια A². ὁ] mut. in ἡ A². τῇ] corr. ex τὴν A². ὑποτείνῃ ACF, corr. A² C². 2 γραφομένου E. 3 οὐ—τεταρτημορίου (4)] om. E, interpolata. 4 ΓΒ] ΒΓ B. 5 πόλος E. 7 ἐστὶ] ἐστὶν A, comp. C. 9 τοῦ] τὴν E. τέμνουσιν A. 11 ordinem uerborum in διὰ τοῦ δοθέντος ἄρα σημείου mut. A² supra add. α γ β δ. B] ΒΓΕ AD, corr. A². 12 ἁπτόμενος E. In fig. A, Γ, Z add. C², E et C et C², τοῦ τὸ adscr. C²; ΓΔ per B non cadit in E. 14 ιε'] mg. ext. B². 15 ἐλάττονος E. 16 ἐστιν A. τοῦ ἴσου τε καὶ] om. C. 20 δὲ] postea ins. A, om. C. ἐστιν A, comp. C. 21 ΑΒ] ΑΒ κύκλου E. 24 τῷ (pr.)] τὸ D. 25 Γ, Δ B. ΔΓΘ] -Γ- e corr. E, ΔΒΓΘ C. 26 ἡ δὴ—ἐλάττων

circulus maximus describatur ΓΒΔ, et arcui, sub quo subtendit latus quadrati in circulo maximo inscripti, aequalis abscindatur ΔΒ [neque enim fieri potest, ut ΒΓ sit arcus quartae partis circuli; tum enim AB circulus maximus esset (I 17), quod contra hypothesin est; itaque ΓΒ arcus quartae partis circuli non est], et polo Δ, radio autem ΔΒ, circulus describatur ΕΒΖ; maximus igitur est ΕΒΖ (I 17); nam recta a polo eius ducta lateri quadrati in circulo maximo inscripti aequalis est. et quoniam in sphaera duo circuli AB, ΕΒΖ ambitum circuli maximi ΓΒΔ in eodem puncto B secant polos in eo habentes, circuli inter se contingent (prop. III); itaque circulus AB circulum ΕΒΖ continget. ergo per datum punctum B circulus maximus descriptus est ΕΒΖ circulum AB in puncto B contingens.



XV.

Dato in sphaera circulo minore quam maximo punctoque aliquo in superficie sphaerae, quod inter illum circulumque ei aequalem parallelumque positum est, per hoc punctum circulum maximum describere datum circulum contingentem.

sit datus in sphaera circulus AB minor maximo, punctum autem in superficie sphaerae datum, quod inter ipsum AB circulumque ei aequalem parallelumque positum est, sit Γ; oportet igitur per punctum Γ circulum maximum describere circulum AB contingentem.

sumatur enim polus circuli AB (I 21) et sit punctum Δ, et polo Δ, radio autem ΔΓ circulus describatur ΓΕΖΗ, et per puncta Δ, Γ circulus maximus describatur ΔΓΘ (I 20).

ΒΓ igitur aut minor est arcu, sub quo latus quadrati in circulo maximo inscripti subtendit, aut aequalis aut maior.

primum minor sit, et arcui, sub quo latus quadrati in circulo maximo inscripti subtendit, aequalis abscindatur arcus ΒΘ, et polo Θ, radio autem ΒΘ, circulus describatur ΕΒΗ; maximus igitur est circulus ΕΒΗ (I 17); nam recta a polo eius ducta la-

(28)] E, om. ABCDF. δὴ] scripsi, δὲ E. 28 τῇ] τὴν E. ὑποτείνῃ AE, corr. A. ἡ] supra scr. E. 29 περιφερείᾳ A.

πόλου αὐτοῦ ἴση ἐστὶ τῇ τοῦ τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου· καὶ ἐφάψεται τοῦ ΑΒ· δύο γὰρ κύκλοι οἱ ΕΒΗ, ΑΒ μεγίστου κύκλου περιφέρειαν τὴν ΔΒΓΘ κατὰ τὸ αὐτὸ σημεῖον τέμνουσι τὸ Β τοὺς πόλους ἔχοντες ἐπ᾽ αὐτοῦ. καὶ διὰ τοῦ Δ σημείου καὶ ἑκατέρου τῶν Ε, Η σημείων μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΔΜΕΚ, ΔΝΗΛ, καὶ τῇ ΓΘ περιφερείᾳ ἴση ἀπειλήφθω ἑκατέρα τῶν ΕΚ, ΗΛ.


καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο κύκλοι οἱ ΕΒΗ, ΖΕΓΗ τέμνουσιν ἀλλήλους, διὰ δὲ τῶν πόλων αὐτῶν μέγιστος κύκλος γέγραπται ὁ ΔΒΓΘ, δίχα ἄρα τεμεῖ τὰ ἀπειλημμένα τμήματα τῶν κύκλων· ἴση ἄρα ἐστὶν ἡ μὲν ΕΓ περιφέρεια τῇ ΓΗ περιφερείᾳ, ἡ δὲ ΕΒ περιφέρεια τῇ ΒΗ περιφερείᾳ. καὶ ἐπεὶ αἱ τρεῖς αἱ ΔΜΕ, ΔΒΓ, ΔΝΗ ἴσαι ἀλλήλαις εἰσίν· ἐκ γὰρ τοῦ πόλου εἰσὶ τοῦ ΖΕΗ κύκλου· εἰσὶ δὲ καὶ αἱ ΔΜ, ΔΒ, ΔΝ ἴσαι ἀλλήλαις, λοιπαὶ ἄρα αἱ ΜΕ, ΒΓ, ΝΗ ἴσαι εἰσίν. ἀλλὰ καὶ αἱ ΕΚ, ΓΘ, ΗΛ ἴσαι ἀλλήλαις εἰσίν· ὅλαι ἄρα αἱ ΜΚ, ΒΘ, ΝΛ ἴσαι ἀλλήλαις εἰσίν. καί ἐστιν ἡ ΒΘ ἴση τῇ, ὑφ᾽ ἣν ὑποτείνει ἡ τοῦ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου· καὶ αἱ ΜΚ, ΝΛ ἄρα ἴσαι εἰσὶ τῇ, ὑφ᾽ ἣν ὑποτείνει ἡ τοῦ τετραγώνου πλευρά. καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΔΒΓΘ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΖΕΓΗ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ὁ ΔΒΓΘ ἄρα ὀρθός ἐστι πρὸς τὸν ΖΕΓΗ κύκλον. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ὁ ΔΝΗΛ ὀρθός ἐστι πρὸς τὸν ΖΕΓΗ, καὶ ἔτι ὁ ΔΜΕΚ ὀρθός ἐστι πρὸς τὸν ΖΕΓΗ.

καὶ ἐπεζεύχθωσαν αἱ ΛΝ, ΛΓ, ΘΕ. καὶ ἐπεὶ κύκλου τοῦ ΖΕΓΗ ἐπὶ διαμέτρων τῶν ἀπὸ τῶν Γ, Η σημείων ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐφέσταται τὰ ΓΘ, ΗΛ καὶ τὰ τούτοις συνεχῆ, καὶ ἀπ᾽ αὐτῶν ἴσαι περιφέρειαι ἀπειλημμέναι εἰσὶν αἱ ΓΘ, ΗΛ ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων, καί ἐστιν ἴση ἡ ΕΓ περιφέρεια τῇ ΓΗ, ἴση ἄρα ἐστὶν ἡ ΘΕ τῇ ΛΓ. τετραγώνου δὲ ἡ ΘΕ· καὶ ἡ ΛΓ ἄρα ἴση ἐστὶ τῇ τοῦ

1 παύλου **E**. ἐστὶ] seq. ras. **E**, ἐστὶν **A**, comp. **C**. 2 ἐγγραφομένου **F**. ΕΒΗ | ΑΒ, -Η ins. postea, ante Α- ras., **F**. 6 ΔΜΚΕ **E**. ΔΝΚΛ **B**, sed corr. (?). 10 ἀ|πειλημμένα, ἀ- in ras., -π- ins., **A**. 11 περιφερείᾳ (pr.)] **E**, om. **ABCDF**. περιφέρεια (alt.)] om. **E**. περιφερείᾳ] om. **E**. 12 τρεῖς] $\widehat{\Gamma}$ **D**. ΔΜΕ, ΔΒΓ, ΔΝΗ] **E**, ΔΕ ΔΓ ΔΗ **ABCDF**. In fig. Γ om. **A**; rectam ΜΚ hab. **E**, om. **ABCDF**, rectam ΝΛ eras. **F**; Δ e corr. **C**^{2}; litt. Ε et Η bis **B**^{2}**F** ex transpositione; Ο e corr., Γ om. **E**; fig. repetunt in fol. verso **CD**, in **C** litt. Β, Ε, Ν transpositae; rectam ΚΓ om. codd. 13 εἰσὶν (pr.) **A**. κύκλου] om. **D**. εἰσὶν (alt.) **A**. 14 Post ἴσαι supra add. ἀλλήλαις **A**^{2}. 15 ΜΚ] e corr. in scrib. **C**. ΒΘ] ΑΘ **E**. 16 εἰσίν] **A**, εἰσί **BCDEF**. ὑποτείνῃ **AF**, corr. **A**^{2}. 17 ΝΛ] Ν- e corr. **C**. 18 ὑφ'—ἡ] **E**, om. **ABCDF**. πλευρά] **E**, πλευρᾶ **B** et seq. ras. 1 litt. **C**, πλευρᾶι **ADF**. 19 τῶν] corr. ex τὸν **C**. 20 τεμεῖ] τέμνει **E**. 21 ἐστιν **A**, comp. **C**. 22 τὸν] τὸ **B**. καὶ (alt.)] in ras. **D**. καὶ ἔτι—ΖΕΓΗ (23)] om. **F**. 24 καὶ (pr.)] **ADE**, del.

teri quadrati in circulo maximo inscripti aequalis est; et circulum ΑΒ continget (prop. III); nam duo circuli ΕΒΗ, ΑΒ ambitum circuli maximi ΔΒΓΘ in eodem puncto Β secant polos in eo habentes. et per punctum Δ et utrumque punctum Ε, Η circuli maximi describantur ΔΜΕΚ, ΔΝΗΛ, et arcui ΓΘ aequalis abscindatur uterque ΕΚ, ΗΛ.

et quoniam in sphaera duo circuli ΕΒΗ, ΖΕΓΗ inter se secant, per polos autem eorum circulus maximus descriptus est ΔΒΓΘ, segmenta circulorum abscisa in binas partes aequales secabit (prop. IX); itaque arcus ΕΓ arcui ΓΗ aequalis est, arcus autem ΕΒ arcui ΒΗ aequalis. et quoniam tres arcus ΔΜΕ, ΔΒΓ, ΔΝΗ inter se aequales sunt (I def. 5) — nam a polo circuli ΖΕΗ ducti sunt —, uerum etiam ΔΜ, ΔΒ, ΔΝ inter se aequales (ibid.), qui relinquuntur, ΜΕ, ΒΓ, ΝΗ aequales sunt. uerum etiam ΕΚ, ΓΘ, ΗΛ inter se aequales sunt; quare toti ΜΚ, ΒΘ, ΝΛ inter se aequales sunt. et ΒΘ arcui, sub quo latus quadrati in circulo maximo inscripti subtendit, aequalis est; quare etiam ΜΚ, ΝΛ arcui, sub quo latus quadrati subtendit, aequales sunt. et quoniam in sphaera circulus maximus ΔΒΓΘ circulum aliquem eorum, qui in sphaera sunt, ΖΕΓΗ per polos secat, et in duas partes aequales eum secabit et ad rectos angulos (I 15); itaque ΔΒΓΘ ad circulum ΖΕΓΗ perpendicularis est. similiter igitur demonstrabimus, etiam ΔΝΗΛ ad ΖΕΓΗ perpendicularem esse, et denique ΔΜΕΚ ad ΖΕΓΗ perpendicularem.



et iungantur ΛΝ, ΛΓ, ΘΕ. et quoniam in circulo ΖΕΓΗ in diametris a punctis Γ, Η ductis segmenta circulorum aequalia et perpendicularia erecta sunt ΓΘ, ΗΛ, et quae cum iis coniuncta sunt, et ab iis aequales arcus abscisi sunt ΓΘ, ΗΛ minores quam dimidii totorum, et arcus ΕΓ arcui ΓΗ aequalis est, erit etiam ΘΕ = ΛΓ (prop. XII). ΘΕ autem latus est qua-

A^2, om. **BCF**. ἐπεζεύχθωσαν] -θω- in ras. **A**. ΛΝ] **D**, Λ- e corr. **A**, ΝΛ **É**, ΛΗ **BCF**. ἐπεὶ] fort. scrib. ἐπὶ. 26 ΓΗ, ΘΛ **C**. 27 ἴσαι] in ras. **A**. ΓΗ, ΘΛ **C**. 29 ΘΕ] ÷ add. **F**^{2}, ΘΕ ἐκ γὰρ τοῦ πόλου ἐστὶ τοῦ ΕΒΗ κύκλου **E** (schol.). ἴση] ἴ- in ras. **A**.

τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου. ἔστι δὲ καὶ ἡ ΛΝ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου· ἴση ἄρα ἐστὶν ἡ ΓΛ τῇ ΛΝ· ὁ ἄρα πόλῳ τῷ Λ, διαστήματι δὲ τῷ ΛΓ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Ν σημείου. ἐρχέσθω καὶ ἔστω ὡς ὁ ΓΝΞ. μέγιστος ἄρα ἐστὶν ὁ ΓΝΞ· ἡ γὰρ ἐκ τοῦ πόλου αὐτοῦ ἴση ἐστὶ τῇ τοῦ τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου. καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο κύκλοι μεγίστου τινὸς κύκλου περιφέρειαν τὴν ΔΝΗΛ κατὰ τὸ αὐτὸ σημεῖον τέμνουσι τὸ Ν τοὺς πόλους ἔχοντες ἐπ᾽ αὐτοῦ, ἐφάψονται ἄρα ἀλλήλων· ὁ ΓΝΞ ἄρα τοῦ ΑΒ κύκλου ἐφάψεται.

ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ὁ πόλῳ τῷ Κ, διαστήματι δὲ τῷ ΚΓ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Μ σημείου.

ἐὰν γὰρ ἐπιζεύξωμεν τὰς ΓΚ, ΘΗ, ἴσαι ἀλλήλαις ἔσονται [ὁμοίως γὰρ ἐπὶ τοῦ ΖΕΓΗ κύκλου ἐπὶ διαμέτρων τῶν ἀπὸ τῶν Θ, Γ σημείων ἴσα καὶ ὀρθὰ τμήματα κύκλων ἐφέσταται τὰ ΕΚ, ΓΘ καὶ τὰ συνεχῆ αὐτοῖς, καὶ τῶν μὲν ἐφεστηκότων τμημάτων ἴσαι περιφέρειαι ἀφῃρημέναι εἰσὶν αἱ ΕΚ, ΓΘ ἐλάττους ἢ ἡμίσειαι οὖσαι τῶν ὅλων, τοῦ δὲ ἐξ ἀρχῆς κύκλου ἴσαι αἱ ΕΓ, ΓΗ· ἴση ἄρα ἐστὶ καὶ ἡ ΓΚ εὐθεῖα τῇ ΘΗ εὐθείᾳ]. καί ἐστιν ἡ ΘΗ τετραγώνου πλευρά· ἐκ γὰρ τοῦ πόλου ἐστὶ μεγίστου κύκλου τοῦ ΕΒΗ· καὶ ἡ ΓΚ ἄρα τετραγώνου ἔσται πλευρά. ἀλλὰ καὶ ἡ ΚΜ· ἴση ἄρα ἐστὶν ἡ ΚΜ τῇ ΚΓ· ὁ ἄρα πόλῳ τῷ Κ, διαστήματι δὲ τῷ ΚΓ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Μ σημείου καὶ ἔσται ὡς ὁ ΓΜΟ καὶ ἐφάψεται τοῦ ΑΒ κύκλου· καὶ γίγνεται διχῶς τὸ πρόβλημα.

διὰ ἄρα τοῦ δοθέντος σημείου τοῦ Γ, ὅ ἐστι μεταξὺ τοῦ ΑΒ καὶ τοῦ ἴσου τε καὶ παραλλήλου αὐτῷ μέγιστος κύκλος γέγραπται ὁ ΓΝΞ καὶ ὁ ΓΜΟ.

ἐὰν δὲ ἡ ΒΓ ἴση ᾖ τῇ, ὑφ᾽ ἣν ὑποτείνει ἡ τοῦ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου, τὰ αὐτὰ τοῖς πρότερον κατασκευάσαντες ἀποδείξομεν οὕτως·

---

1 κύκλον] om. **E**. 2 ΛΝ] ☾ add. **F**^{2}. 3 ΛΝ] corr. ex ΛΗ **F**. πόλω seq. ras. 1 litt. **A**. 8 ΔΝΗΛ] corr. ex ΑΝΗΛ **A**. τέμνουσιν **A**. 9 ἄρα (pr.)] om. **E**. ὁ] οἱ κύκλοι· ἐφάψεται ἄρα καὶ ὁ **E**. ἄρα (alt.)] κύκλος **E**. 10 ἐφάψεται] om. **E**. 11 Κ] corr. ex Η (?) **F**. 13 ΓΚ] ΓΚΣ **E**. ὁμοίως—εὐθείᾳ (19)] **E**, om. **ABCDF**. 19 πλευρά] $\frac{\lambda}{\pi}$ **E**. ἐστὶ] **ABCDF**, ἐστὶ τοῦ **EA**^{2}. 20 ΕΒΗ] corr. ex ΣΒΗ **B**^{2}. ἡ ΓΚ] corr. ex ΗΓΚ **A**. 21 ΚΜ (pr.)] -Μ in ras. **A**^{2}, e corr. **D**; Μ **C**. ΚΜ] **ACE**, ΚΝ **D**, ΚΓ **BFA**^{2}. ΚΓ] **ACDE**, ΚΜ **BFA**^{2}. 22 γραφόμενος] **EA**^{2}, ἐγγραφόμενος **ABCDF**. 23 γίνεται **BC**. 25 διὰ—σημείου] mut. in διὰ τοῦ δοθέντος ἄρα σημείου litt. α—γ—β—δ supra add. **A**^{2}. post ΑΒ supra add. κύκλου **A**^{2}. 27 Post ΓΜΟ add. ὁμοίως γὰρ ἐροῦμεν· ἐπεὶ (corr. ex ἐπὶ **A**) κύκλου τοῦ ΕΖΗΓ ἐπὶ διαμέτρων τῶν ἀπὸ (τοῦ add. **C**) Ε, Γ σημείων ἴσα καὶ ὀρθὰ τμήματα (τήματα

drati (I 16); quare etiam ΛΓ lateri quadrati in circulo maximo inscripti aequalis est. uerum etiam ΛΝ latus est quadrati in circulo maximo inscripti; quare ΓΛ = ΛΝ; itaque circulus polo Λ, radio autem ΛΓ, descriptus etiam per punctum Ν ueniet. ueniat et sit ut ΓΝΞ. maximus igitur est circulus ΓΝΞ (I 17); nam recta a polo eius ducta lateri quadrati in circulo maximo inscripti aequalis est. et quoniam in sphaera duo circuli ambitum circuli alicuius maximi ΔΝΗΛ in eodem puncto Ν secant polos in eo habentes, inter se contingent (prop. III); itaque circulus ΓΝΞ circulum ΑΒ continget.

similiter igitur demonstrabimus, etiam circulum polo Κ, radio autem ΚΓ, descriptum per punctum Μ quoque uenire.

si enim ΓΚ, ΘΗ duxerimus, inter se aequales erunt [similiter enim in circulo ΖΕΓΗ in diametris a punctis Θ, Γ[1]) ductis segmenta circulorum aequalia et perpendicularia erecta sunt ΕΚ, ΓΘ, et quae cum iis coniuncta sunt, et a segmentis erectis aequales arcus abscisi sunt ΕΚ, ΓΘ minores quam dimidii totorum, a circulo autem ab initio posito arcus aequales ΕΓ, ΓΗ; itaque recta ΓΚ = ΘΗ (prop. XII)]. et ΘΗ latus quadrati est (I 16); nam a polo circuli maximi ΕΒΗ ducta est; quare etiam ΓΚ latus est quadrati. uerum etiam ΚΜ; itaque ΚΜ = ΚΓ; circulus igitur polo Κ, radio autem ΚΓ, descriptus etiam per punctum Μ ueniet et erit ut ΓΜΟ, et circulum ΑΒ continget; et duobus modis efficitur, quod proposuimus.

ergo per datum punctum Γ, quod inter ΑΒ et circulum ei aequalem parallelumque positum est, circulus maximus descriptus est ΓΝΞ itemque ΓΜΟ.

sin ΒΓ arcui, sub quo latus quadrati in circulo maximo inscripti subtendit, aequalis est, iisdem, quae antea, comparatis demonstratio haec erit:

C) κύκλων ἐφέσταται (mut. in ἐφίσταται **B**^{2}) τὰ ΕΚ, ΓΘ καὶ τὰ τούτοις (**BFA**^{2}, τοῦ' **C**, om. **AD**) συνεχῆ, καί ἐστιν ἴση ἡ ΕΓ περιφέρεια τῇ ΓΗ περιφερείᾳ, ἴση ἄρα ἐστὶ (ἐστὶν **AB**, comp. **C**) καὶ (om. **B**) ἡ ΓΚ εὐθεῖα τῇ ΘΗ εὐθείᾳ. τετραγώνου δὲ ἡ ΘΗ· ἐκ πόλου γὰρ τοῦ ΕΒΗ κύκλου· τετραγώνου ἄρα καὶ ἡ ΓΚ. ἔστι δὲ καὶ ἡ ΚΜ τετραγώνου· ὁ (supra scr. **A**) ἄρα πόλῳ μὲν τῷ Κ, διαστήματι δὲ ἑνὶ τῶν Γ, Μ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ λοιποῦ· καὶ φανερόν, ὅτι ἐφάψεται τοῦ ΑΒ (mut. in ΑΒΓ **A**^{2}) **ABCDF**, quae Theodosii non esse, intellexit Nizze. 28 ἐὰν] scripsi, εἰ **ABCDEF**. ἡ ΒΓ—κατασκευάσαντες (30)] **E**, τις λέγοι (λε with Γ above **C**) τὴν ἀπολαμβανομένην ἴσην τῇ τοῦ τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου εἶναι τὴν ΒΓ **ABCDF**. $\frac{\lambda}{\pi}$ **E**. 29 εἰσ^{τ''} **E**. 30 δείξομεν **B**.

1) Immo Θ, Ε.

dico autem, etiam rectam ΕΔ minorem esse omnibus rectis a puncto E inter puncta K, Δ adcidentibus.

perducatur enim alia quoque EM, et iungatur MZ.

et quoniam $\Delta Z < ZM$, erit etiam $\Delta Z^2 < ZM^2$. commune adiiciatur ZE^2; itaque $EZ^2 + Z\Delta^2 < EZ^2 + ZM^2$, siue (Eucl. I 47) $E\Delta^2 < EM^2$; quare $\Delta E < EM$. similiter igitur demonstrabimus, etiam omnibus rectis a puncto E ad arcum KΔ inter puncta K, Δ adcidentibus minorem esse rectam EΔ; ergo recta EΔ omnibus rectis a puncto E ad arcum KΔ inter puncta K, Δ adcidentibus minor est, et proxima quaeque ei rectarum inter puncta K, Δ perductarum remotiore minor est.

iam uero recta perducta BΔ diametrus sit circuli ΑΒΓΔ, reliqua autem eadem supponantur. dico, rectam EB omnibus rectis a puncto E ad ambitum circuli ΑΒΓΔ adcidentibus minorem esse, EΔ autem maximam.

iisdem enim comparatis, quoniam arcus ΔE maior est arcu EB, et perpendicularis ducta est EZ, erit etiam $\Delta Z > ZB$. et BΔ diametrus est circuli ΑΒΓΔ; in ZΔ igitur positum est centrum circuli; itaque $\Delta Z > Z\Gamma > ZB$ (Eucl. III 7); quare etiam

$$\Delta Z^2 > Z\Gamma^2 > ZB^2.$$

commune adiiciatur ZE^2; itaque

$$\Delta Z^2 + ZE^2 > \Gamma Z^2 + ZE^2 > BZ^2 + ZE^2, \text{ siue (Eucl. I 47)}$$

$$E\Delta^2 > \Gamma E^2 > BE^2;$$

quare $\Delta E > E\Gamma > EB$. similiter igitur demonstrabimus, etiam omnium rectarum a puncto E ad ambitum circuli ΑΒΓΔ adcidentium maximam esse rectam ΔE, minorem autem omnibus EB.

ergo recta EΔ omnium rectarum a puncto E ad ambitum circuli ΑΒΓΔ adcidentium maxima est, EB autem omnibus minor.

ΑΒΓΔ] seq. ras. 1 litt. **A**. 16 σημείων **A**, sed corr.; comp. **C**. ΑΒΓΔ] -Β- e corr. in scrib. **E**. 19 ἦκται] om. **E**, -κ- e corr. in scrib. **F**. ἐστὶν ἄρα supra add. β' α' **E**. ἐστὶν **A**. 20 καὶ (pr.)] om. **E**. ΖΒ] ΒΖ **BE**. 21 ΖΔ] ΔΖ **E**. τοῦ] τοῦ ΑΒ ΓΔ **E**. 22 ΖΓ (pr.)] -Γ e corr. **D**. ΖΒ] ΒΖ **EF**, corr. **F**. ὥστε] renouat. in spat. mai. **C**^{2}. μείζων **A**, sed corr. 23 τοῦ (pr.)] τ- corr. ex ν in scrib. **D**. ΖΓ (pr.)] Ζ- e corr. **E**. προκείσθω **F**. 24 ΔΖ] Δ- e corr. **D**. 25 ΕΔ] -Δ e corr. **D**. μείζονά] **ABDF**, μεῖζον (α supra) renouat. **C**; μεῖζον Ε **A**^{2}, e corr. **C**^{2}. τοῦ—τουτέστι (26)] add. **F**^{2}. τοῦ] **DEA**^{2}, τὸ **ABCF**. 26 τουτέστι—ΖΕ (27)] bis **B**, alt. loco del. μείζονα] mut. in μεῖζόν ἐστι **A**^{2}. 27 ΖΕ] seq. spat. 2 litt. **C**. ΔΕ] mut. in μὲν ΔΕ **A**^{2}, δὲ **E**. μείζω **E**. ἐστί **F**, sed corr. 28 δείξωμεν **A**, sed corr. 29 τοῦ] om. **C**. 30 μεγίστη] **ADE**; μείζων **BCF**, coni. Nizze. ἡ ΔΕ] in ras. **A**, ἡ ΕΔ **E**. ἐλάσσων] comp. **D**. 31 τῶν] **BDE**, τοῦ **ACF**. 33 ἐλάσσων] **D**, ἐλάσσων· ὅπερ ἔδει δεῖξαι **E**; ἐλαχίστη **BCF**, in ras. **A**^{2}.

β′.

Ἐὰν εἰς κύκλον διαχθῇ τις εὐθεῖα ἀπολαμβάνουσα τμῆμα μὴ ἔλασσον ἡμικυκλίου, καὶ ἐπ' αὐτῆς τμῆμα κύκλου ἐπισταθῇ μὴ μεῖζον ἡμικυκλίου κεκλιμένον πρὸς τὸ μὴ μεῖζον ἡμικυκλίου, διαιρεθῇ δὲ ἡ τοῦ ἐφεστῶτος τμήματος περιφέρεια εἰς ἄνισα, ἡ ὑπὸ τὴν ἐλάσσονα περιφέρειαν ὑποτείνουσα εὐθεῖα ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ αὐτοῦ σημείου πρὸς τὴν μὴ ἐλάσσονα ἡμικυκλίου περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

εἰς γὰρ κύκλον τὸν ΑΒΓΔ διήχθω τις εὐθεῖα ἡ ΑΓ ἀπολαμβάνουσα τμῆμα μὴ ἔλασσον ἡμικυκλίου τὸ ΑΒΓ, καὶ ἐπὶ τῆς ΑΓ τμῆμα κύκλου ἐφεστάτω τὸ ΑΕΓ μὴ μεῖζον ἡμικυκλίου κεκλιμένον πρὸς τὸ μὴ μεῖζον ἡμικυκλίου τὸ ΑΔΓ, καὶ διῃρήσθω ἡ ΑΕΓ περιφέρεια εἰς ἄνισα κατὰ τὸ Ε σημεῖον, καὶ ἔστω μείζων ἡ ΓΕ περιφέρεια τῆς ΕΑ περιφερείας, καὶ ἐπεζεύχθω ἡ ΕΑ. λέγω, ὅτι ἡ ΕΑ ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΑΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

ἤχθω γὰρ ἀπὸ τοῦ Ε σημείου ἐπὶ τὸ τοῦ ΑΒΓΔ κύκλου ἐπίπεδον κάθετος· πεσεῖται δὴ μεταξὺ τῆς τε ΑΓ εὐθείας καὶ τῆς ΑΔΓ περιφερείας διὰ τὸ κεκλίσθαι τὸ ΑΕΓ τμῆμα πρὸς τὸ ΑΔΓ τμῆμα. πιπτέτω καὶ ἔστω ἡ ΕΖ καὶ συμβαλλέτω τῷ τοῦ κύκλου ἐπιπέδῳ κατὰ τὸ Ζ σημεῖον, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ. ἤτοι δὴ ἐπὶ τῆς ΑΓ τὸ κέντρον ἐστὶ τοῦ ΑΒΓΔ κύκλου ἢ μεταξὺ τῆς τε ΑΓ εὐθείας καὶ τῆς ΑΒΓ περιφερείας διὰ τὸ τὸ ΑΒΓ τμῆμα ὑποκεῖσθαι μὴ ἔλασσον ἡμικυκλίου.

ἔστω πρότερον μεταξὺ τῆς τε ΑΓ εὐθείας καὶ τῆς ΑΒΓ περιφερείας καὶ ἔστω τὸ Η σημεῖον, καὶ ἐπιζευχθεῖσα ἡ ΖΗ ἐκβεβλήσθω ἐπὶ τὰ Δ, Β μέρη, καὶ ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΑΒΓ περιφέρειαν προσβεβλήσθω εὐθεῖα ἡ ΕΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΘ.

καὶ ἐπεὶ ἡ ΕΖ ὀρθή ἐστι πρὸς τὸ τοῦ ΑΒΓΔ κύκλου ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τοῦ ΑΒΓΔ κύκλου ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ τῆς ΕΖ ἑκατέρα τῶν ΑΖ, ΖΘ οὖσα ἐν τῷ τοῦ ΑΒΓΔ κύκλου ἐπιπέδῳ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΖΕ, ΘΖΕ γωνιῶν ὀρθή ἐστιν. καὶ ἐπεὶ ἡ ΑΖ

1 β′] mg. ext. **B**^{2}. 2 εἰς] supra scr. **F**^{2}. τμῆμα] om. **E**. 3 ἐλάσσων **A**, sed corr. ἐπισταθῇ seq. ras. 1 litt. **A**. 6 αὐτοῦ] **BCEF**, om. **AD**. 8 εὐθειῶν] seq. εἰς γὰρ κύκλον διαχθῇ κτλ. l. 2—ἐστὶ l. 6 (-τος l. 5 in ras. mai.) **C**, del. **CC**^{2}. 9 ΑΒΓ **BC**. 10 ἐλάσσων **A**, sed corr. ΑΓ] ΑΒΓ **C**. 11 τὸ ΑΕΓ] **A**^{2}**F**^{2}, τὸ ΑΓ **ABCDF**, om. **E**. μεῖζον] μεῖ- in ras. **E**. ἡμικυκλίου] ἡμικυκλίου τὸ ΑΕΓ **E**. 12 μεῖζον] supra scr. **A**^{2}, ἔλασσον in ras. **A**^{2}, del. **A**^{2}. ΑΔΓ] -ΔΓ in ras. **F**^{2}. ΑΕΓ] -Ε- eras. **C**. 13 μείζων] **A**, supra scr. ἐλάσσων **A**^{2}. ΓΕ] mut. in ΑΕ **A**^{2}. 14 ΕΑ (pr.)]

II.

Si in circulum recta aliqua perducitur segmentum abscindens non minus semicirculo, et in ea segmentum circuli erigitur non maius semicirculo ad segmentum non maius semicirculo inclinatum, et arcus segmenti erecti in partes inaequales diuiditur, recta arcui minori subtendens minor est omnibus rectis ab eodem puncto ad arcum non minorem semicirculo adcidentibus.

in circulum enim ΑΒΓΔ recta aliqua ΑΓ perducatur segmentum abscindens ΑΒΓ non minus semicirculo, et in ΑΓ segmentum circuli non maius semicirculo erigatur ΑΕΓ ad segmentum ΑΔΓ non maius semicirculo inclinatum, et arcus ΑΕΓ in puncto Ε in partes inaequales diuidatur, et arcus ΓΕ maior sit arcu ΕΑ, et iungatur ΕΑ. dico, rectam ΕΑ minorem esse omnibus rectis a puncto Ε ad arcum ΑΒΓ adcidentibus.

ducatur enim a puncto Ε ad planum circuli ΑΒΓΔ perpendicularis; cadet igitur inter rectam ΑΓ arcumque ΑΔΓ, quia segmentum ΑΕΓ ad segmentum ΑΔΓ inclinatum est. cadat et sit ΕΖ et cum plano circuli in puncto Ζ concurrat, et sumatur centrum circuli ΑΒΓΔ (Eucl. III 1). centrum igitur circuli ΑΒΓΔ aut in ΑΓ positum est aut inter rectam ΑΓ arcumque ΑΒΓ, quia suppositum est, segmentum ΑΒΓ non minus esse semicirculo.

prius inter rectam ΑΓ arcumque ΑΒΓ positum sit, et sit punctum Η, et ducta ΖΗ ad partes Δ, Β producatur, et a puncto Ε ad arcum ΑΒΓ adcidat recta ΕΘ, et iungantur ΑΖ, ΖΘ.

et quoniam ΕΖ ad planum circuli ΑΒΓΔ perpendicularis est, etiam ad omnes rectas eam tangentes et in plano circuli ΑΒΓΔ positas rectos angulos efficiet (Eucl. XI def. 3). tangit autem rectam ΕΖ utraque ΑΖ, ΖΘ in plano circuli ΑΒΓΔ posita; uterque igitur angulus ΑΖΕ, ΘΖΕ rectus est. et quoniam ΑΖ < ΖΘ (cfr. Eucl. III 7),

mut. in ΕΓ **A**^{2}. 17 ΑΒΓ **C**. 19 ΕΑΓ **C**. 20 συμβαλλέτω **F**. 22 ἐστὶν **A**, comp. **C**. ΑΒΓΔ] -Δ del. **A**^{2}. 27 πρὸς] mut. in ἐπὶ **A**^{2}. προσεκβεβλήσθω **E**. 28 ἐπιζεύχθωσαν **F**. 29 ἐστιν **A**, comp. **C**. 32 ΖΘ] corr. ex ΞΘ **C**. 33 ΘΖΕ] supra scr. **F**^{2}. ἐστιν] **AE**, comp. **C**, ἐστι **BDF**.

τῆς ΖΘ ἐστιν ἐλάσσων, ἔλασσον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΖ τοῦ ἀπὸ τῆς ΘΖ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΖΕ· τὰ ἄρα ἀπὸ τῶν ΑΖ, ΖΕ, τουτέστι τὸ ἀπὸ τῆς ΑΕ, ἐλάσσονά ἐστι τῶν ἀπὸ τῶν ΕΖ, ΖΘ, τουτέστι τοῦ ἀπὸ τῆς ΘΕ· ἡ ΑΕ ἄρα τῆς ΕΘ ἐστιν ἐλάσσων. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΑΒ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλάσσων ἐστὶν ἡ ΑΕ· ἡ ἄρα ΑΕ ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΑΒ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

καὶ πάλιν ὁμοίως δείξομεν, ὅτι αἰεὶ ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερον ἐλάσσων ἐστὶ τῶν ἀπὸ τοῦ Ε σημείου διαγομένων εὐθειῶν πρὸς τὴν ΑΒ περιφέρειαν μεταξὺ τῶν Α, Β σημείων.

ἐπεζεύχθω δὴ ἡ ΕΒ. λέγω, ὅτι ἡ ΕΒ μεγίστη ἐπὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΑΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

ἐπεὶ γὰρ ἡ ΒΖ τῆς ΖΘ ἐστι μείζων, μεῖζον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΒΖ τοῦ ἀπὸ τῆς ΖΘ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΖΕ· τὰ ἄρα ἀπὸ τῶν ΕΖ, ΖΒ, τουτέστι τὸ ἀπὸ τῆς ΕΒ, μείζονά ἐστι τῶν ἀπὸ τῶν ΕΖ, ΖΘ, τουτέστι τοῦ ἀπὸ τῆς ΕΘ· μείζων ἄρα ἐστὶν ἡ ΒΕ τῆς ΕΘ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ πασῶν τῶν ἀπὸ τοῦ Ε πρὸς τὴν ΑΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἡ ΕΒ μείζων ἐστίν· ἡ ΕΒ ἄρα μεγίστη ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΑΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

ἐπεζεύχθω δὲ καὶ ἡ ΕΓ. λέγω δή, ὅτι καὶ ἡ ΕΓ ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεταξὺ τῶν Β, Γ σημείων.

διήχθω γὰρ καὶ ἑτέρα ἡ ΕΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΓ, ΖΚ.

καὶ ἐπεὶ ἡ ΓΖ τῆς ΖΚ ἐστιν ἐλάσσων, ἔλασσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΓΖ τοῦ ἀπὸ τῆς ΖΚ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΖΕ· τὰ ἄρα ἀπὸ τῶν ΓΖ, ΖΕ, τουτέστι τὸ ἀπὸ τῆς ΕΓ, ἐλάσσονα τῶν ἀπὸ τῶν ΚΖ, ΖΕ, τουτέστι τοῦ ἀπὸ τῆς ΕΚ· ἡ ΓΕ ἄρα ἐλάσσων ἐστὶ τῆς ΕΚ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ πασῶν τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΒΚΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεταξὺ τῶν Β, Γ σημείων ἐλάσσων ἐστὶν ἡ ΕΓ. καὶ πάλιν ὁμοίως δείξομεν, ὅτι αἰεὶ ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερόν ἐστιν ἐλάσσων τῶν ἀπὸ τοῦ Ε σημείου πρὸς τὴν ΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεταξὺ τῶν Β, Γ σημείων.

1 ἐστὶν **A**, comp. **C**. 2 ΘΖ] ΖΘ **BE**. 3 τουτέστι—ΖΘ] mg. **C**² (·b.). τουτέστιν **A**. τὸ] **DEA**², τοῦ **ABFC**². ἐλάσσονά] edd., ἔλασσόν **BCDEF** et corr. ex ἐλάσσων **A**. τῶν (pr.)] τὸ **C**. ΕΖ, ΖΘ] mut. in ΘΖ, ΖΕ **A**²; ΕΖ, ΘΖ **B**. 4 τουτέστιν **A**. τοῦ] **DEA**², τὸ **ABCF**. ΕΘ] ΘΕ **E**. 5 ὅτι] ὅτι δὴ **E**. ΑΒ] mut. in ΑΒΓ **A**². 6 ἡ ἄρα—εὐθειῶν (8)] om. **E**. 9 καὶ—ὁμοίως] in ras. **D**. δείξομεν] δὴ δείξομεν **AD**, corr. **A**². ἀεὶ **E**. ἔγγειον **A**, corr. **A**². ἀπότερον **E**. 11 ΑΒ] mut. in ἀπὸ τοῦ Α ἄχρι τοῦ Β **A**². δὴ] ante τῶν supra add. δηλονότι **A**². 12 ἐπεζεύχθω] sec. ε in ras. **A**.

erit etiam $AZ^2 < \Theta Z^2$. commune adiiciatur ZE^2; itaque $AZ^2 + ZE^2 < EZ^2 + Z\Theta^2$ siue (Eucl. I 47) $AE^2 < \Theta E^2$; quare $AE < E\Theta$. similiter igitur demonstrabimus, etiam omnibus rectis a puncto E ad arcum AB adcidentibus minorem esse AE; ergo AE omnibus rectis a puncto E ad arcum AB adcidentibus minor est.

et rursus similiter[1]) demonstrabimus, rectam proximam quamque ei rectarum a puncto E ad arcum AB inter puncta A, B perductarum remotiore minorem esse.

iam iungatur EB. dico, rectam EB maximam esse omnium rectarum a puncto E ad arcum ΑΒΓ adcidentium.

quoniam enim $BZ > Z\Theta$ (cfr. Eucl. III 7), erit etiam $BZ^2 > Z\Theta^2$. commune adiiciatur ZE^2; itaque $EZ^2 + ZB^2 > EZ^2 + Z\Theta^2$ siue (Eucl. I 47) $EB^2 > E\Theta^2$; quare $BE > E\Theta$. similiter igitur demonstrabimus, etiam omnibus rectis ab E ad arcum ΑΒΓ adcidentibus maiorem esse EB; ergo EB maxima est omnium rectarum a puncto E ad arcum ΑΒΓ adcidentium.

iungatur autem etiam ΕΓ. dico, etiam ΕΓ omnibus rectis a puncto E ad arcum ΒΓ inter puncta B, Γ adcidentibus minorem esse.

perducatur enim alia quoque recta EK, et iungantur ΖΓ, ZK.

et quoniam $\Gamma Z < ZK$ (cfr. Eucl. III 7), erit etiam $\Gamma Z^2 < ZK^2$. commune adiiciatur ZE^2; itaque $\Gamma Z^2 + ZE^2 < KZ^2 + ZE^2$ siue (Eucl. I 47) $E\Gamma^2 < EK^2$; quare $\Gamma E < EK$. similiter igitur demonstrabimus, etiam omnibus rectis a puncto E ad arcum ΒΚΓ inter puncta B, Γ adcidentibus minorem esse ΕΓ. et rursus similiter demonstrabimus, proximam quamque ei rectarum a puncto E ad arcum ΒΓ inter puncta B, Γ adcidentium remotiore minorem esse.

δὲ καὶ **E**. λέγω] λέγω δή **E**. ΕΒ (alt.)] -Β in ras. **F**². 14 ΒΖ] ΖΒ **E**. μεῖζον] corr. ex μείζων **A**. 15 ΒΖ] ΖΒ **E**. τοῦ ἀπὸ] om. **C**. τῆς (sec.)] τοῦ **E**. ΖΘ] ΖΘ ἐστι μείζων **C**, corr. **C**². τὰ] corr. ex τὸ **C**². 16 ΕΖ, ΖΒ] mut. in ΒΖ, ΖΕ **A**². τουτέστιν **A**. τὸ] τοῦ **F**. ΕΒ] -Β e corr. **F**². μείζονά] **ABCD**, -ζονα e corr. **F**², μεῖζόν **EA**². ἐστιν **AF**, corr. **F**², comp. **C**. τῶν ἀπὸ—ἐστὶν (17)] mg. **F** (·b.). 17 ΕΖ, ΖΘ] mut. in ΘΖ, ΖΕ **A**², ΕΖΘ e corr. **C**. τοῦ] corr. ex τῶν **C**², τὸ **F**. ΒΕ] ΕΒ **E**. 19 ἐστίν] ἐστί **B**. ΕΒ (alt.)] Ε/Β e corr. **C**. 20 ἐστὶ] e corr. **D**. πασῶν] π- e corr. **D**. 25 post γὰρ supra add. μεταξὺ τῶν Β, Γ σημείων **A**². ΖΚ] -Κ e corr. **C**². 28 ΓΖ] Γ post ras. 1 litt. in ras. **C**. τουτέστι—ΖΕ (29)] ins. **B**². ἐλάσσονα] **ADFB**², ἐλάσσονά ἐστι **E**; ἔλασσόν ἐστι **A**², e corr. **C**². 29 ἐστὶ] ins. in spat. min. **B**². 31 ΒΚΓ] **E**, ΒΓΚ **ABCDF**. 32 ἐστὶ **F**, sed corr. ὁμοίως] **EA**², ὁμοίως δὴ **ABCDF**. ἀεὶ **E**. ἐγγëιον **A**. 33 ἀπότερον **E**. σημείου] **E**, e corr. **A**; σημείων **ABCDF**.

[1]) Quae sequuntur usque ad lin. 34, in enuntiatione proposita non sunt.

ὁμοίως δὴ δειχθήσεται, κἂν ἡμικύκλιον ᾖ τὸ ΑΒΓ, ὅτι ἡ ΑΕ ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Ε πρὸς τὴν ΑΒΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

γ'.

Ἐὰν ἐν σφαίρᾳ μέγιστοι κύκλοι τέμνωσιν ἀλλήλους, ἀπὸ δὲ ἑκατέρου αὐτῶν ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἑξῆς ἐφ' ἑκάτερα τοῦ σημείου, καθ' ὃ τέμνουσιν ἀλλήλους, αἱ ἐπιζευγνύουσαι τὰ πέρατα τῶν ἐπὶ τὰ αὐτὰ μέρη περιφερειῶν εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν.

ἐν γὰρ σφαίρᾳ δύο μέγιστοι κύκλοι οἱ ΑΒ, ΓΔ τεμνέτωσαν ἀλλήλους κατὰ τὸ Ε σημεῖον, ἀπὸ δὲ ἑκατέρου αὐτῶν ἴσαι περιφέρειαι ἀπειλήφθωσαν ἑξῆς ἐφ' ἑκάτερα τοῦ Ε σημείου ἡ μὲν ΑΕ τῇ ΕΒ, ἡ δὲ ΓΕ τῇ ΕΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΑ, ΒΔ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΓΑ τῇ ΒΔ.

ὁ γὰρ πόλῳ τῷ Ε, διαστήματι δὲ τῷ ΕΑ κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Β. ἤτοι δὴ καὶ διὰ τοῦ Γ ἥξει ἢ οὔ.

ἐρχέσθω πρότερον καὶ διὰ τοῦ Γ· ἥξει ἄρα καὶ διὰ τοῦ Δ· ἴση γάρ ἐστιν ἡ ΓΕ περιφέρεια τῇ ΕΔ περιφερείᾳ. ἐρχέσθω, καὶ ἔστω τοῦ μὲν ΑΓΒΔ καὶ τοῦ ΑΕΒ κοινὴ τομὴ ἡ ΑΒ, τοῦ δὲ ΑΓΒΔ καὶ τοῦ ΓΕΔ κοινὴ τομὴ ἡ ΓΔ.

καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΕΒ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΑΓΒΔ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ἡ ΑΒ ἄρα διάμετρός ἐστι τοῦ ΑΓΒΔ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΓΔ διάμετρός ἐστι τοῦ ΑΓΒΔ κύκλου· αἱ τέσσαρες ἄρα αἱ ΑΖ, ΖΓ, ΖΒ, ΖΔ ἴσαι ἀλλήλαις εἰσίν. ἐπεὶ οὖν δύο αἱ ΑΖ, ΖΓ δύο ταῖς ΔΖ, ΖΒ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΑΖΓ γωνίᾳ τῇ ὑπὸ ΔΖΒ ἴση ἐστίν, βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΒ ἐστιν ἴση.

ἀλλὰ δὴ πάλιν ὁ πόλῳ μὲν τῷ Ε, διαστήματι δὲ τῷ ΕΑ κύκλος γραφόμενος μὴ ἐρχέσθω διὰ τοῦ Γ, ἀλλ' ὑπερπιπτέτω αὐτό· ἥξει μὲν ἄρα καὶ διὰ τοῦ Β, ὑπερπεσεῖται δὲ καὶ τὸ Δ. ἐρχέσθω καὶ ἔστω ὡς

1 ὁμοίως—ὅτι] ἐπεὶ οὖν ἡ ΕΔ ἐλάσσων ἐδείχθη τῶν ἀπὸ τοῦ Ε πρὸς τὴν ΑΘΒ προσπιπτουσῶν εὐθειῶν, ἡ δὲ ΕΓ ἐλάσσων πασῶν ἀπὸ τοῦ Ε πρὸς τὴν ΕΓ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν, καί ἐστιν ἡ ΔΕ ἐλάσσων τῆς ΕΓ· ὥστε **E**. δείξομεν **B**. 2 post Ε supra add. σημείου **A**². 4 γ'] mg. ext. **B**². 8 περιφέρειαι **E**. εἰσίν] seq. ras. **C**. 9 δύο μέγιστοι] μέγιστοι δύο **C**, μέγιστοι **E**. 11 ἐφ'] ἐ- in ras. **E**. 15 Γ] seq. ras. 1 litt. **A**. 16 πρώτερον **A**, sed corr. ἥξει] seq. ras. **A**. 17 ΓΕ] Γ- e corr. **C**². ΕΔ] ΔΕ **F**. ἐρχέσθω] ἐρχέ|σθω mut. in ἐρχέσθω καὶ ἔστω ὁ ΑΓΒΔ κύκλος **A**². 18 ΑΓΒΔ] **DA**², ΑΒΓΔ **ABCEF**; deinde supra add. κύκλου comp. **A**². ΑΓΒΔ] **DA**², ΑΒΓΔ **ABCEF**; deinde add. κύκλου comp. **A**². 19 ΓΕΔ] ΓΕΔ καὶ τοῦ ΓΕΒ **C**, corr. **C**². ἡ] ἡ μη' in ras. **C**². 21 τὸν] corr. ex τῶν **A**. ΑΓΒΔ] **DA**², ΑΒΓΔ **ABCEF**. 22 ΑΓΒΔ] **DA**², ΑΒΓΔ **ABCEF**. 23 ἐστιν **A**, comp. **C**. ΑΓΒΔ] **DA**², ΑΒΓΔ **ABCEF**. 25 δύο] mut. in δυσὶ **A**². 26 ἐστίν] **A**, comp. **C**, ἐστί **BDEF**. 28 ΕΑ] ΑΕ **E**. figg. permutauit **E**. 30 ὡς] om. **C**.

similiter igitur demonstrabitur, etiam si ΑΒΓ semicirculus est, rectam ΑΕ omnibus rectis ab Ε ad arcum ΑΒΓ adcidentibus minorem esse.


III.

Si in sphaera circuli maximi inter se secant, ab utroque autem eorum aequales arcus deinceps in utramque partem puncti, in quo inter se secant, abscinduntur, rectae terminos arcuum ad easdem partes uersus iungentes inter se acquales sunt.

in sphaera enim duo circuli maximi ΑΒ, ΓΔ in puncto Ε inter se secent, ab utroque autem eorum arcus aequales deinceps in utramque partem puncti Ε abscindantur, ΑΕ = ΕΒ et ΓΕ = ΕΔ, et iungantur ΓΑ, ΒΔ. dico, esse ΓΑ = ΒΔ.

circulus enim polo Ε, radio autem ΕΑ, descriptus etiam per Β ueniet (Eucl. III 29). aut igitur etiam per Γ ueniet aut non ueniet.

prius igitur etiam per Γ ueniat; ueniet igitur etiam per Δ; nam arcus ΓΕ arcui ΕΔ aequalis est. ueniat, et communis sectio circulorum ΑΓΒΔ, ΑΕΒ sit ΑΒ, circulorum autem ΑΓΒΔ, ΓΕΔ communis sectio ΓΔ.



et quoniam in sphaera circulus maximus ΑΕΒ circulum aliquem eorum, qui in sphaera sunt, ΑΓΒΔ per polos secat, in duas partes aequales eum secabit et ad rectos angulos (I 15); ΑΒ igitur diametrus est circuli ΑΓΒΔ. similiter igitur demonstrabimus, etiam ΓΔ diametrum esse circuli ΑΓΒΔ; quare quattuor rectae ΑΖ, ΖΓ, ΖΒ, ΖΔ inter se aequales sunt. quoniam igitur duae ΑΖ, ΖΓ duabus ΔΖ, ΖΒ altera alteri aequales sunt, et $\angle A Z \Gamma = \angle \Delta Z B$ (Eucl. I 15), basis ΑΓ basi ΔΒ aequalis est (Eucl. I 4).

iam uero rursus circulus polo Ε, radio autem ΕΑ, descriptus per Γ ne ueniat, sed id excedat; ueniet igitur etiam per Β (Eucl. III 29), excedet autem etiam Δ. ueniat et sit ut ΑΗΒΘ,

ὁ ΑΗΒΘ, καὶ προσαναπεπληρώσθω ὁ ΓΕΔ κύκλος κατὰ τὰ Η, Θ σημεῖα, καὶ ἔστω τοῦ μὲν ΑΗΒΘ κύκλου καὶ τοῦ ΑΕΒ κοινὴ τομὴ ἡ ΑΒ, τοῦ δὲ ΑΗΒΘ κύκλου καὶ τοῦ ΗΕΘ κοινὴ τομὴ ἡ ΗΘ.

ὁμοίως δὴ πάλιν δείξομεν, ὅτι τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΗΒΘ κύκλου, καὶ ὅτι ἑκάτερος τῶν ΑΕΒ, ΗΕΘ ὀρθός ἐστι πρὸς τὸν ΑΗΒΘ κύκλον. ἤχθωσαν δὴ ἀπὸ τῶν Γ, Δ σημείων ἐπὶ τὸ τοῦ ΑΗΒΘ κύκλου ἐπίπεδον κάθετοι αἱ ΓΚ, ΔΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΛΒ.

καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΗ περιφέρεια τῇ ΕΘ περιφερείᾳ· πόλος γάρ ἐστι τὸ Ε σημεῖον· ὧν ἡ ΓΕ τῇ ΕΔ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ΓΗ λοιπῇ τῇ ΔΘ ἐστιν ἴση. ἐπεὶ οὖν τμῆμα κύκλου ὀρθόν ἐστι τὸ ΗΕΘ, καὶ ἀπειλημμέναι εἰσὶν ἴσαι περιφέρειαι αἱ ΗΓ, ΔΘ, καὶ κάθετοι ἠγμέναι εἰσὶν αἱ ΓΚ, ΔΛ, ἴση ἄρα ἐστὶν ἡ μὲν ΓΚ τῇ ΔΛ, ἡ δὲ ΗΚ τῇ ΘΛ. ἔστι δὲ καὶ ὅλη ἡ ΗΖ ὅλῃ τῇ ΖΘ ἴση· λοιπὴ ἄρα ἡ ΚΖ λοιπῇ τῇ ΖΛ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΑΖ τῇ ΒΖ ἴση· αἱ ΑΚ, ΛΒ ἄρα ἴσαι εἰσίν. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΚ τῇ ΛΒ, ἡ δὲ ΓΚ τῇ ΔΛ, δύο δὴ αἱ ΑΚ, ΚΓ δύο ταῖς ΒΛ, ΛΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ γωνία ἡ ὑπὸ ΓΚΑ γωνίᾳ τῇ ὑπὸ ΔΛΒ ἐστιν ἴση· ὀρθὴ γὰρ ἑκατέρα αὐτῶν· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΒ ἐστιν ἴση.

δ'.

Ἐὰν ἐν σφαίρᾳ δύο μέγιστοι κύκλοι τέμνωσιν ἀλλήλους, ἀπὸ δὲ ἑνὸς αὐτῶν ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἑξῆς ἐφ' ἑκάτερα τοῦ σημείου, καθ' ὃ τέμνουσιν ἀλλήλους, διὰ δὲ τῶν γενομένων σημείων ἐπίπεδα παράλληλα ἐκβληθῇ, ὧν τὸ ἓν συμπίπτον τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ εἰρημένον σημεῖον, μία δὲ τῶν ἴσων περιφερειῶν μείζων ᾖ ἑκατέρας τῶν ἀπειλημμένων ὑπὸ τῶν ἠγμένων ἐπιπέδων πρὸς τῷ αὐτῷ σημείῳ, ἡ μεταξὺ τοῦ τε σημείου καὶ τοῦ ἀσυμπτώτου ἐπιπέδου μείζων ἐστὶ τῆς μεταξὺ τοῦ τε σημείου καὶ τοῦ συμπίπτοντος ἐπιπέδου τοῦ αὐτοῦ κύκλου.

ἐν γὰρ σφαίρᾳ δύο μέγιστοι κύκλοι οἱ ΑΕΒ, ΓΕΔ τεμνέτωσαν ἀλλήλους κατὰ τὸ Ε σημεῖον, ἀπὸ δὲ ἑνὸς αὐτῶν τοῦ ΑΕΒ ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΑΕ, ΕΒ ἑξῆς ἐφ' ἑκάτερα τοῦ Ε σημείου, καὶ διὰ τῶν Α, Β σημείων ἐπίπεδα παράλληλα διήχθω τὰ ΑΔ, ΓΒ, ὧν τὸ ΑΔ συμπίπτον τῇ κοινῇ τομῇ τῶν ΑΕΒ, ΓΕΔ ἐκτὸς τῆς


---

1 προσαναπεπληρώσθω] A², προσαπεπληρώσθω **D**, προσαναπληρώσθω **ABCEF**. 2 ΑΕΒ—καὶ τοῦ (3)] mg. **C**² (☾). 3 ΕΗΘ **B**. 4 ὅτι] ὅτι καὶ **D**. 6 ΑΒΗΘ **D**. 9 post σημεῖον supra add. τοῦ ΑΗΒΘ κύκλου **A**². 10 ἐστι] ἐστιν **A**, comp. **C**. 11. 12 εἰσιν ἠγμέναι **B**. 12 post εἰσὶν supra add. ἐπὶ τὸ τοῦ ΑΗΒΘ κύκλου ἐπίπεδον **A**². ἴση ·/· **E**. ἴση—ΓΚ] in ras. **D**. ἐστὶν] corr. ex ἐστὶ **A**. ΔΛ ⋕ **D**. ἡ δὲ—ΔΛ (15)] mg. **D** (χ-⋕). 13 ΖΛ] ΛΖ **A**. 14 ἔστιν **A**. 16 δύο] mut. in δυσὶ **A**². ταῖς—ἴσαι] in ras. **A**.

et expleatur circulus ΓΕΔ ad puncta Η, Θ uersus, et communis sectio circulorum ΑΗΒΘ, ΑΕΒ sit ΑΒ, circulorum autem ΑΗΒΘ, ΗΕΘ communis sectio ΗΘ.

similiter igitur rursus demonstrabimus, punctum Ζ centrum esse circuli ΑΗΒΘ, et utrumque circulum ΑΕΒ, ΗΕΘ ad circulum ΑΗΒΘ perpendicularem esse. ducantur igitur a punctis Γ, Δ ad planum circuli ΑΗΒΘ perpendiculares ΓΚ, ΔΛ, et iungantur ΑΚ, ΛΒ.

et quoniam arcus ΕΗ arcui ΕΘ aequalis est (I def. 5) — polus enim est punctum Ε —, quorum ΓΕ = ΕΔ, reliquus ΓΗ reliquo ΔΘ aequalis est. quoniam igitur segmentum circuli perpendiculare est ΗΕΘ, et aequales arcus abscisi sunt ΗΓ, ΔΘ, et perpendiculares ductae sunt ΓΚ, ΔΛ, erit ΓΚ = ΔΛ, ΗΚ = ΘΛ (Eucl. I 26). uerum etiam tota ΗΖ toti ΖΘ aequalis est; quare etiam reliqua ΚΖ reliquae ΖΛ aequalis est. uerum etiam ΑΖ = ΒΖ; itaque ΑΚ = ΛΒ (Eucl. I 4). quoniam igitur ΑΚ = ΛΒ et ΓΚ = ΔΛ, duae ΑΚ, ΚΓ duabus ΒΛ, ΛΔ altera alteri aequales sunt. et ∠ΓΚΑ = ∠ΔΛΒ; nam uterque rectus est (Eucl. XI def. 3); ergo basis ΑΓ basi ΔΒ aequalis est (Eucl. I 4).



IV.

Si in sphaera duo circuli maximi inter se secant, ab altero autem eorum aequales arcus deinceps abscinduntur in utramque partem puncti, in quo inter se secant, per puncta orta autem plana ducuntur, quorum alterum cum communi sectione planorum extra sphaeram ad punctum, quod significauimus, uersus concurrit, et alter arcuum aequalium maior est utroque eorum, qui planis ductis ad idem punctum abscinduntur, arcus inter hoc punctum planumque non concurrens positus maior est arcu inter punctum planumque concurrens eiusdem circuli posito.

in sphaera enim duo circuli maximi ΑΕΒ, ΓΕΔ in puncto Ε inter se secent, ab uno autem eorum ΑΕΒ aequales arcus deinceps abscindantur ΑΕ, ΕΒ in utramque partem puncti Ε, et per puncta Α, Β plana parallela ducantur ΑΔ, ΓΒ, quorum ΑΔ cum communi sectione planorum ΑΕΒ, ΓΕΔ extra superficiem

---

17 γωνίᾳ] ω' Γ **E**. 19 δ'] mg. ext. **B**² (euan.). 22 γινομένων **A**, sed corr. 25 περιφεριῶν **A**. 26 τῷ αὐτῷ] corr. ex τὸ αὐτὸ **ABF**. 29 οἱ] corr. ex ὁ **C**².

ἐπιφανείας τῆς σφαίρας κατὰ τὸ Ε σημεῖον, μία δὲ τῶν ἴσων περιφερειῶν τῶν ΑΕ, ΕΒ μείζων ἔστω ἑκατέρας τῶν ΓΕ, ΕΔ. λέγω, ὅτι μείζων ἐστὶν ἡ ΓΕ περιφέρεια τῆς ΕΔ περιφερείας.


ὁ πόλῳ γὰρ τῷ Ε, διαστήματι δὲ τῷ ΕΑ κύκλος γραφόμενος ἥξει μὲν διὰ τοῦ Β, ὑπερπεσεῖται δὲ τὰ Γ, Δ σημεῖα διὰ τὸ ἑκατέραν τῶν ΑΕ, ΕΒ ἑκατέρας τῶν ΓΕ, ΕΔ μείζονα εἶναι. ἐρχέσθω καὶ ἔστω ὡς ὁ ΑΗΒΖ, καὶ προσαναπεπληρώσθωσαν οἱ κύκλοι, καὶ ὁ μὲν ΑΔ κύκλος συμπιπτέτω τῷ ΑΗΒΖ κύκλῳ κατὰ τὸ Θ σημεῖον, ὁ δὲ ΒΓ κατὰ τὸ Κ σημεῖον, καὶ ἔστω τοῦ μὲν ΑΗΒΖ καὶ τῶν ΑΕΒ καὶ ΗΕΖ κοιναὶ τομαὶ ἡ ΑΒ καὶ ἡ ΗΖ, τοῦ δὲ ΑΔΘ κύκλου καὶ τοῦ ΑΗΒΖ κοινὴ τομὴ ἡ ΑΘ, τοῦ δὲ ΚΓΒ καὶ τοῦ ΑΗΒΖ κοινὴ τομὴ ἡ ΚΒ, τοῦ δὲ ΗΕΖ καὶ τοῦ ΑΔΘ κοινὴ τομὴ ἡ ΔΜ, τοῦ δὲ ΚΓΒ καὶ τοῦ ΗΕΖ κοινὴ τομὴ ἡ ΓΝ. καὶ ἐπεὶ τὸ ΑΔ ἐπίπεδον συμπίπτει τῇ κοινῇ τομῇ τῶν ΗΕΖ, ΑΕΒ ἐπιπέδων, τουτέστι τῇ ΕΛ, ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ Ε σημεῖον, συμπιπτέτω κατὰ τὸ Ξ, καὶ ἐκβεβλήσθω ἡ ΕΛ ἐπὶ τὸ Ξ. τὸ Ξ ἄρα σημεῖον ἐν τῷ ΑΔΘ ἐπιπέδῳ ἐστίν, ἀλλὰ καὶ ἐν τῷ ΗΕΖ, ἔστι δὲ καὶ τὰ Δ, Μ σημεῖα ἐν ἀμφοτέροις τοῖς ΑΔΘ, ΗΕΖ ἐπιπέδοις· ἡ ΜΔ ἄρα συμπίπτει ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ Ε σημεῖον· συμπεσοῦνται δὴ κατὰ τὸ Ξ.

καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΕΒ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΑΗΒΖ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ἡ ΑΒ ἄρα διάμετρός ἐστι τοῦ ΑΗΒΖ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΗΖ διάμετρός ἐστι τοῦ ΑΗΒΖ κύκλου· κέντρον ἄρα ἐστὶν αὐτοῦ τὸ Λ. καὶ ἐπεὶ δύο παράλληλα ἐπίπεδα τὰ ΚΓΒ, ΑΔΘ ὑπό τινος ἐπιπέδου τέμνεται τοῦ ΑΗΒΖ, αἱ κοιναὶ ἄρα αὐτῶν τομαὶ παράλληλοί εἰσιν· παράλληλος ἄρα ἐστὶν ἡ ΚΒ τῇ ΑΘ. πάλιν, ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΚΓΒ, ΑΔΘ ὑπό τινος ἐπιπέδου τέμνεται τοῦ ΗΕΖ, αἱ κοιναὶ αὐτῶν ἄρα τομαὶ παράλληλοί εἰσιν· παράλληλος ἄρα ἐστὶν ἡ ΓΝ τῇ ΔΜ. καὶ ἐπεὶ ἑκάτερον τῶν ΑΕΒ, ΗΕΖ ἐπιπέδων πρὸς τὸ ΑΗΒΖ ἐπίπεδον ὀρθόν ἐστιν, καὶ ἡ κοινὴ αὐτῶν ἄρα τομὴ

1 τῆς] corr. ex τῇ **C**. κατὰ] **ADE**, ὡς κατὰ **BCFA**^{2}. περιφεριῶν **A**, sed corr. in scrib. 3 ΕΔ] ΔΕ **E**. 4 ΕΑ] corr. ex ΑΕ **F**. 5 Γ, Δ] ΔΓ **E**. In fig. ΑΒ ad ΗΖ perpendicularem hab. codd.; Θ inter Η et Β, Δ in recta ΛΑ hab. **E**; Ν] in ras. **C**^{2}, Μ] corr. ex Β **C**^{2}, Θ] e corr. **C**. 6 ΕΒ] -Β in ras. **A**^{2}**B**^{2}. ἑκατέρας] -ς corr. ex ν? **A**. ἑκατέρας—ΕΔ] mg. **B**^{2} (·/·). ὡς] om. **E**. 7 προσαναπληρώσθωσαν **F**; προσαναπεπληρώσθω **D**, sed corr. 8 ΒΓ] ΒΖ **F**. 9 τοῦ] corr. ex τὸ **C**. μὲν] om. **E**. καὶ (tert.)] **ADE**, om. **BCF**, del. **A**^{2}. 9. 10 κοιναὶ τομαὶ] **CEF**, κοινὴ τομὴ **ABD**. 10 ἡ (alt.)] **EF**, om. **ABCD**. 11 ἡ ΑΘ—τομὴ] mg. **B**^{2} (∴, κείμενον). ΑΗΒΖ] -Β- in ras. **E**. 12 καὶ τοῦ ΑΔΘ] om. **F**. ΑΔΘ] -Θ e corr. **D**. ΚΒΓ **B**. 13 τομὴ] **BEA**^{2}, om. **ACDF**. κοινῇ—ἐπιφανείας (14)] ἐπιφανείᾳ **E**. 14 ΑΕΒ] -Β in ras. **F**^{2}. τουτέστιν **A**. τῇ] τοῦ **B**. 16 ΕΛ] corr. ex ΕΑ **A**. 17 ἀμφοτέροις] -οις

sphaerae ad punctum E uersus concurrat, unus autem arcuum aequalium ΑΕ, ΕΒ maior sit utroque ΓΕ, ΕΔ. dico, arcum ΓΕ maiorem esse arcu ΕΔ.

circulus enim polo E, radio autem ΕΑ, descriptus per B ueniet, puncta autem Γ, Δ excedet, quia uterque ΑΕ, ΕΒ maior est utroque ΓΕ, ΕΔ. ueniat et sit ut ΑΗΒΖ, et expleantur circuli, et circulus ΑΔ cum circulo ΑΗΒΖ in puncto Θ concurrat, ΒΓ autem in puncto K, et circuli ΑΗΒΖ circulorumque ΑΕΒ, ΗΕΖ communes sectiones sint ΑΒ, ΗΖ, circuli autem ΑΔΘ circulique ΑΗΒΖ communis sectio ΑΘ, circuli autem ΚΓΒ circulique ΑΗΒΖ communis sectio ΚΒ, circuli autem ΗΕΖ circulique ΑΔΘ communis sectio ΔΜ, circuli autem ΚΓΒ circulique ΗΕΖ communis sectio ΓΝ. et quoniam planum ΑΔ cum communi sectione planorum ΗΕΖ, ΑΕΒ, hoc est ΕΛ, extra superficiem sphaerae ad punctum E uersus concurrit, concurrat in puncto Ξ, et ΕΛ ad Ξ producatur. Ξ igitur punctum in plano ΑΔΘ positum est, uerum etiam in ΗΕΖ, et puncta Δ, Μ quoque in utroque plano ΑΔΘ, ΗΕΖ posita sunt; itaque ΜΔ extra superficiem sphaerae ad punctum E uersus concurrit; concurrent igitur in Ξ.



et quoniam in sphaera circulus maximus ΑΕΒ circulum aliquem eorum, qui in sphaera sunt, ΑΗΒΖ per polos secat, in duas partes aequales eum secabit et ad rectos angulos (I 15); itaque ΑΒ diametrus est circuli ΑΗΒΖ. similiter igitur demonstrabimus, etiam ΗΖ diametrum esse circuli ΑΗΒΖ; quare centrum eius est Λ. et quoniam duo plana parallela ΚΓΒ, ΑΔΘ plano aliquo ΑΗΒΖ secantur, communes eorum sectiones parallelae sunt (Eucl. XI 16); quare ΚΒ, ΑΘ parallelae sunt. rursus, quoniam duo plana parallela ΚΓΒ, ΑΔΘ plano aliquo ΗΕΖ secantur, communes eorum sectiones parallelae sunt (ib.); quare ΓΝ, ΔΜ parallelae sunt. et quoniam utrumque planum ΑΕΒ, ΗΕΖ ad planum ΑΗΒΖ perpendiculare est, etiam com-

euan. **C**, ἀμφοτ^ερ' **E**. 18 ΔΜ **E**. 20 τῶν] τὸν **B**. 22 ὁμοίως—κύκλου (23)] om. **D**. 24 ἐπίπεδα παράλληλα **E**. ΚΓΒ] -Β e corr. **D**. ΑΔΘ] -Θ e corr. **D**. 25 τέμνεται] -εται in ras. **A**. ΑΗΒΖ] -Β- e corr. **A**, -ΗΒ- in ras. **D**. 26 εἰσιν] **A**, εἰσι **BCDEF**. 27 ΚΓΒ] corr. ex ΚΓΔ **A**. 28 εἰσιν] **A**; εἰσῑν, -ν euan., **C**; εἰσι **BDEF**. 29 ΓΝ] corr. ex ΓΗ **B**. 30 ἐστιν] **A**, ״/ω **C**, ἐστι **BDEF**.

ὀρθή ἐστι πρὸς τὸ AHBZ ἐπίπεδον. κοινὴ δὲ αὐτῶν τομή ἐστιν ἡ EΛ· καὶ ἡ EΛ ἄρα ὀρθή ἐστι πρὸς τὸ AHBZ ἐπίπεδον· ὥστε καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τοῦ AHBZ κύκλου ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ τῆς EΛ ἑκατέρα τῶν AB, HZ οὖσα ἐν τῷ τοῦ AHBZ κύκλου ἐπιπέδῳ· ἡ EΛ ἄρα ὀρθή ἐστι πρὸς ἑκατέραν τῶν AB, HZ. καὶ ἐπεὶ τριγώνου τοῦ ΞΛM ἐκτός ἐστι γωνία ἡ ὑπὸ ΞΛN, μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον γωνίας τῆς ὑπὸ ΞMΛ. ὀρθὴ δὲ ἡ ὑπὸ ΞΛN· ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΞMΛ· ἀμβλεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΞMZ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΓN τῇ ΔM, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ HZ, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΓNH τῇ ὑπὸ ΞMΛ. ὀξεῖα δὲ ἡ ὑπὸ ΞMΛ· ὀξεῖα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΓNH. καὶ παράλληλός ἐστιν ἡ AM τῇ NB, καὶ δύο διηγμέναι εἰσὶν αἱ AB, MN, καί ἐστιν ἴση ἡ AΛ τῇ ΛB· ἴση ἄρα ἐστὶ καὶ ἡ NΛ τῇ ΛM. ἔστι δὲ καὶ ὅλη ἡ HΛ ὅλῃ τῇ ΛZ ἴση· λοιπὴ ἄρα ἡ HN λοιπῇ τῇ MZ ἐστιν ἴση. ἐπεὶ οὖν τμῆμα κύκλου ἐστὶ τὸ HEZ, καὶ αἱ ἀπειλημμέναι ἴσαι εἰσὶν αἱ HN, MZ, καὶ διηγμέναι εἰσὶ παράλληλοι αἱ ΓN, ΔM, καί ἐστιν ἡ μὲν ὑπὸ ΓNH ὀξεῖα, ἡ δὲ ὑπὸ ΔMZ ἀμβλεῖα, ἐλάσσων ἄρα ἐστὶν ἡ HΓ περιφέρεια τῆς ΔZ περιφερείας. ἐπεὶ οὖν ὅλη ἡ HE περιφέρεια ὅλῃ τῇ ZE περιφερείᾳ ἐστὶν ἴση, ὧν ἡ HΓ τῆς ΔZ ἐστιν ἐλάσσων, λοιπὴ ἄρα ἡ ΓE περιφέρεια λοιπῆς τῆς EΔ περιφερείας μείζων ἐστίν· ὅπερ ἔδει δεῖξαι.

ε΄.

Ἐὰν ἐπὶ μεγίστου κύκλου περιφερείας ὁ πόλος ᾖ τῶν παραλλήλων, καὶ τοῦτον τέμνωσι δύο μέγιστοι κύκλοι πρὸς ὀρθάς, ὧν ὁ μὲν εἷς τῶν παραλλήλων, ὁ δὲ ἕτερος λοξὸς πρὸς τοὺς παραλλήλους, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων, διὰ δὲ τῶν γενομένων σημείων παράλληλοι κύκλοι γραφῶσιν, ἀνίσους ἀπολήψονται περιφερείας τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τὰς μεταξὺ αὐτῶν καὶ μείζονα ἀεὶ τὴν ἔγγιον τοῦ μεγίστου τῶν παραλλήλων τῆς πορρώτερον.

---

1 ἐστι] ἐστιν A, ″/ꟿ·· C. 3 AHB C. 4 post ἐπιπέδῳ del. ἡ EΛ ἄρα ὀρθή ἐστι CC². EΛ] corr. ex EΔ A. 6 ἐστιν A, comp. C. ἐπεὶ] corr. ex ἐπὶ A. τριγώνῳ E. ΞMΛ] corr. ex ZMΛ A, ex MΛ C². 7 ἐστι] ἐστιν A, comp. C. ΞΛN] ZΛN D; ΞΛH C, Ξ- e corr. C². ἐντὸς] corr. ex ἐκτὸς B². γωνίας] om. E. 8 ΞMΛ (pr.)] -MΛ in ras. A², ΞMN D. ΞΛN] -N e corr. C². ΞMΛ] -MΛ in ras. A. 9 ἀμβλεῖα] in ras. A. ΞMZ] -MZ e corr. A. ΓN] corr. ex ΓH C². 10 ἐκπέπτωκεν E. HZ] H- e corr. A², NZ D. ἐστὶ F. 11 ὀξεῖα—ΞMΛ] mg. A, κει μ add. A². ἐστὶ] om. E, ἐστὶν AB, comp. C. ἡ (alt.)] om. F. 12 post pr. καὶ supra add. ἐπεὶ A². διημέναι A, sed corr. 13 ἐστὶ] ἐστὶν A, comp. C. ΛM] seq. schol. E. 14 HΛ] KΛ E. ὅλῃ] om. D. λοιπῇ] -ῇ in ras. 2 litt. A. λοιπῇ corr. ex λοιπὴ B. 15 ἐστὶ] ἐστὶν AE. τὸ] ἡ E. 16 εἰσι C. αἱ—εἰσὶ] mg. C² (/). HN] corr. ex H B. καὶ δι- in ras. C². ΓN] ΓH CF, corr. F. 17 ἀμβλεῖα] seq. schol. E. Mg. ⁊ D. 18 mg. ☾ B. HΓ] NΓ CD. 19 ZE] Z- e corr. A; ΞE BC, corr. B. 20 ἄρα] ἄρα καὶ E. 21 ὅπερ ἔδει δεῖξαι] del. A². 22 ε΄] mg. ext. B². 24 τέμνωσιν A. 25 ὁ δὲ] in ras. A. δὲ (alt.)] δ- e corr. in scrib. D. 29 κύκλου] om. E. ἔγγειον A, corr. A². 30 πορρωτέρω E, -ω e corr.

munis eorum sectio ad planum AHBZ perpendicularis est (Eucl. XI 19). communis autem sectio eorum est EΛ; quare etiam EΛ ad planum AHBZ perpendicularis est; quare etiam ad omnes rectas eam tangentes et in plano circuli AHBZ positas rectos angulos efficiet (Eucl. XI def. 3). tangit autem rectam EΛ utraque AB, HZ in plano circuli AHBZ posita; EΛ igitur ad utramque AB, HZ perpendicularis est. et quoniam in triangulo ΞΛM extrinsecus positus est ∠ΞΛN, maior est angulo interiore et opposito ΞMΛ (Eucl. I 16). uerum ∠ΞΛN rectus est; itaque ∠ΞMΛ acutus est; quare ∠ΞMZ obtusus est. et quoniam parallelae sunt ΓN, ΔM, et in eas incidit HZ, erit ∠ΓNH = ∠ΞMΛ (Eucl. I 29). uerum ∠ΞMΛ acutus est; itaque etiam ∠ΓNH acutus est. et parallelae sunt AM, NB, et duae rectae perductae sunt AB, MN, et AΛ = ΛB; itaque NΛ = ΛM (Eucl. I 26). uerum etiam tota HΛ toti ΛZ aequalis est; quare reliqua HN reliquae MZ aequalis est. quoniam igitur HEZ segmentum circuli est, et rectae abscisae HN, MZ aequales sunt, et perductae sunt parallelae ΓN, ΔM, et ∠ΓNH acutus est, ∠ΔMZ autem obtusus, arcus HΓ arcu ΔZ minor est (u. schol.). quoniam igitur totus arcus HE toti arcui ZE aequalis est (I def. 5, Eucl. III 28), quorum HΓ arcu ΔZ minor est, reliquus arcus ΓE reliquo arcu EΔ maior est; quod erat demonstrandum.

V.[1]

Si polus circulorum parallelorum in ambitu circuli maximi positus est, et hunc duo circuli maximi ad rectos angulos secant, quorum alter unus ex parallelis est, alter autem ad parallelos obliquus, et a circulo obliquo aequales arcus deinceps abscinduntur ad easdem partes maximi parallelorum, per puncta autem ita orta circuli paralleli describuntur, a circulo maximo ab initio posito arcus inaequales abscindent inter eos positos et proximam quamque maximo parallelorum remotiore maiorem.

---

1) Cfr. Pappus VI 6—12.

ἐπὶ γὰρ μεγίστου κύκλου περιφερείας τοῦ ΑΒΓ ὁ πόλος ἔστω τῶν παραλλήλων τὸ Α σημεῖον, καὶ τοῦτον τεμνέτωσαν δύο μέγιστοι κύκλοι οἱ ΒΖΓ, ΔΖΕ πρὸς ὀρθάς, ὧν ὁ μὲν ΒΖΓ εἷς τῶν παραλλήλων, ὁ δὲ ΔΖΕ λοξὸς πρὸς τοὺς παραλλήλους, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου τοῦ ΔΖΕ ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΚΘ, ΘΗ ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου κύκλου τῶν παραλλήλων τοῦ ΒΖΓ, διὰ δὲ τῶν Κ, Θ, Η σημείων παράλληλοι κύκλοι γεγράφθωσαν οἱ ΟΚΠ, ΝΘΞ, ΛΗΜ. λέγω, ὅτι οἱ ΟΚΠ, ΝΘΞ, ΛΗΜ κύκλοι ἀνίσους ἀπολήψονται περιφερείας τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τοῦ ΑΒΓ καὶ μείζονα ἀεὶ τὴν ἔγγιον τοῦ ΒΖΓ τῆς πορρώτερον. λέγω οὖν, ὅτι μείζων ἐστὶν ἡ ΟΝ περιφέρεια τῆς ΝΛ περιφερείας.

γεγράφθω γὰρ διὰ τῶν Α, Θ σημείων μέγιστος κύκλος ὁ ΑΘΡ.


καὶ ἐπεὶ τὸ Α σημεῖον πόλος ἐστὶ τοῦ ΟΚΠ κύκλου, ἴση ἐστὶν ἡ ΑΝΟ περιφέρεια τῇ ΑΘΡ περιφερείᾳ. πάλιν, ἐπεὶ τὸ Α σημεῖον πόλος ἐστὶ τοῦ ΝΘΞ κύκλου, ἴση ἐστὶν ἡ ΑΛΝ περιφέρεια τῇ ΑΣΘ περιφερείᾳ· λοιπὴ ἄρα ἡ ΝΟ λοιπῇ τῇ ΘΡ ἐστιν ἴση. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΝΛ περιφέρεια τῇ ΣΘ ἐστιν ἴση· ἴση ἄρα ἐστὶν ἡ μὲν ΝΟ τῇ ΘΡ, ἡ δὲ ΛΝ τῇ ΣΘ. καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΘΡ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΟΚΠ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ὁ ΑΘΡ ἄρα κύκλος ὀρθός ἐστι πρὸς τὸν ΟΚΠ κύκλον. κύκλου δή τινος τοῦ ΟΚΠ ἐπὶ διαμέτρου τῆς ἀπὸ τοῦ Ρ τμῆμα κύκλου ὀρθὸν ἐφέσταται τὸ ΡΘ καὶ τὸ τούτῳ συνεχές, καὶ ἀπείληπται περιφέρεια ἡ ΡΘ ἐλάσσων ἢ ἡμίσεια οὖσα τοῦ ἐφεστῶτος τμήματος· ἡ ἄρα ἀπὸ τοῦ Θ ἐπὶ τὸ Ρ ἐπιζευγνυμένη εὐθεῖα ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Θ σημείου πρὸς τὸν ΟΚΠ κύκλον προσπιπτουσῶν εὐθειῶν· ἡ ἄρα ἀπὸ τοῦ Θ ἐπὶ τὸ Ρ ἐπιζευγνυμένη εὐθεῖα ἐλάσσων ἐστὶ τῆς ἀπὸ τοῦ Θ ἐπὶ τὸ Κ ἐπιζευγνυμένης εὐθείας. καί εἰσιν ἴσοι οἱ κύκλοι· μέγιστοι γάρ εἰσιν· ἡ ἄρα ΘΡ περιφέρεια ἐλάσσων ἐστὶ τῆς ΘΚ περιφερείας. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΘΣ τῆς ΘΗ ἐλάσσων [ὁμοίως εἰπόντες· κύκλου δή τινος τοῦ ΛΗΜ ἐπὶ διαμέτρου τῆς ἀπὸ τοῦ Σ σημείου τμῆμα κύκλου ὀρθὸν ἐφέστηκε τὸ ΣΘ καὶ τὸ τούτῳ συνεχές, καὶ ἀπείληπται περιφέρεια ἡ ΣΘ ἐλάσσων ἢ ἡμίσεια οὖσα τοῦ

2 Α] om. E. 3 post εἷς supra add. ἔστω A². 4 ΔΖΕ (alt.)] ΔΖ AC, corr. A². 5 ΘΗ] Θ- e corr E. 6 κύκλου] fort. delendum. ΒΖΓ] Β- corr. ex Δ, -Γ in ras. A²; ΔΖΓ D, ΖΓ C. 8 κύκλοι] corr. ex κύκλων F. 9 ἔγγειον A, corr. A². 10 πορρωτέρ^ω E. 13 ἐστὶν A. 14 ΑΝΟ—ἡ (15)] bis D (ΑΝΟ] in repet. -Ν- e corr.) 15 ἡ] supra scr. F. τῆς ΑΣΘ περιφερείας B. 17 τῇ ΣΘ] τῆς ΣΘ B, τῆc Θ C, τῇ ΣΘ περιφερείᾳ E. In fig. inter Δ et Α arcum per Η ductum, ab Α arcum per Η ad ΝΞ ductum add. E, ubi hic arcum ΝΞ secat, litt. Θ add., alt. Θ del.; Ο] corr. ex Θ C², Γ e corr., Α, Η, Θ, Κ, Ρ postea add. C. 18 ΛΝ] ΝΛ B. 19 ΟΚΠ] -Π in ras. A. διὰ] δι- in ras. A. 21 δὴ E. 22 ἐφέσταται] mut. in

nam in ambitu circuli maximi ΑΒΓ polus parallelorum positus sit punctum Α, et eum duo circuli maximi ad rectos angulos secent ΒΖΓ, ΔΖΕ, quorum ΒΖΓ unus ex parallelis sit, ΔΖΕ autem ad parallelos obliquus, a circulo autem obliquo ΔΖΕ deinceps arcus aequales ΚΘ, ΘΗ abscindantur in easdem partes [circuli] maximi parallelorum ΒΖΓ, per puncta autem Κ, Θ, Η paralleli circuli describantur ΟΚΠ, ΝΘΞ, ΛΗΜ. dico, circulos ΟΚΠ, ΝΘΞ, ΛΗΜ a circulo maximo ab initio posito ΑΒΓ inaequales arcus abscindere et proximum quemque circulo ΒΖΓ remotiore maiorem. dico igitur, arcum ΟΝ maiorem esse arcu ΝΛ.

describatur enim per puncta Α, Θ circulus maximus ΑΘΡ.

et quoniam punctum Α polus est circuli ΟΚΠ, arcus ΑΝΟ arcui ΑΘΡ aequalis est (I def. 5, Eucl. III 28). rursus, quoniam punctum Α polus est circuli ΝΘΞ, arcus ΑΛΝ arcui ΑΣΘ aequalis est (ib.); quare reliquus ΝΟ reliquo ΘΡ aequalis est. similiter igitur demonstrabimus, etiam arcum ΝΛ arcui ΣΘ aequalem esse; itaque arcus ΝΟ arcui ΘΡ aequalis est, arcus autem ΛΝ arcui ΣΘ. et quoniam in sphaera circulus maximus ΑΘΡ circulum aliquem ΟΚΠ eorum, qui in sphaera sunt, per polos secat, in duas partes aequales



eum secabit et ad rectos angulos (I 15); quare ΑΘΡ ad circulum ΟΚΠ perpendicularis est. in circulo igitur aliquo ΟΚΠ in diametro ab Ρ ducta segmentum circuli perpendiculare erectum est ΡΘ, et quod cum eo coniunctum est, et abscisus est arcus ΡΘ minor quam dimidius segmenti erecti; itaque recta a Θ ad Ρ ducta minor est omnibus rectis a puncto Θ ad circulum ΟΚΠ adcidentibus (prop. I); quare recta a Θ ad Ρ ducta minor est recta a Θ ad Κ ducta. et circuli aequales sunt; maximi enim sunt; quare arcus ΘΡ arcu ΘΚ minor est (cfr. Eucl. III 28). similiter igitur demonstrabimus, etiam arcum ΘΣ arcu ΘΗ minorem esse [, similiter ratiocinantes: in circulo igitur aliquo ΛΗΜ in diametro a puncto Σ ducta segmentum circuli perpendiculare erectum est ΣΘ, et quod cum eo coniunctum est, et

ἐφίσταται B². ΘΡ E. συνεχές] -ές e corr. D. 23 περιφέρια A, sed corr. in scrib. ΘΡ E. 25 ἐστὶν A, comp. C. πασῶν] om. E. 27 ἐστὶν A, comp. C. τῆς] corr. ex πασῶν D. 28 οἱ] om. E. ἐστὶν A, comp. C. 29 τῆς] τῇ C. Post ἐλάσσων ins. ἐστίν (comp.) A. 30 ὁμοίως—τμήματος (p. 132, 1)] deleo. 31 ἐφέστηκεν A. 32 ἀπείληπται] -ται corr. ex ι A².

ἐφεστῶτος τμήματος]. καί ἐστιν ἴση ἡ ΚΘ τῇ ΘΗ· ἑκατέρα ἄρα τῶν ΚΘ, ΘΗ ἑκατέρας τῶν ΡΘ, ΘΣ ἐστι μείζων. καὶ ἐπεὶ παράλληλός ἐστιν ὁ ΒΖΓ τῷ ΛΗΜ, ὁ δὲ ΒΖΓ συμπίπτει τῇ τῶν ΗΘΚ, ΑΘΡ κύκλων κοινῇ τομῇ ἐντός, τουτέστιν ὡς κατὰ τὸ κέντρον τῆς σφαίρας, καὶ ὁ ΛΗΜ ἄρα κύκλος συμπεσεῖται τῇ τῶν ΗΘΚ, ΑΘΡ κύκλων κοινῇ τομῇ ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ Θ σημεῖον. ἐπεὶ οὖν ἐν σφαίρᾳ δύο μέγιστοι κύκλοι οἱ ΗΘΚ, ΣΘΡ τέμνουσιν ἀλλήλους, ἀπὸ δὲ ἑνὸς αὐτῶν τοῦ ΗΘΚ ἴσαι περιφέρειαι ἀπειλημμέναι εἰσὶν αἱ ΚΘ, ΘΗ ἑξῆς ἐφ' ἑκάτερα τοῦ Θ σημείου, καὶ διὰ τῶν Η, Κ σημείων ἐπίπεδα παράλληλα ἐκβέβληται τὰ ΛΗΜ, ΟΚΠ, ὧν τὸ ΛΗΜ συμπίπτει τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων τῶν ΗΘΚ, ΣΘΡ ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ Θ σημεῖον, μία δὲ τῶν ἴσων περιφερειῶν τῶν ΚΘ, ΘΗ ἑκατέρας τῶν ΡΘ, ΘΣ ἐστι μείζων, μείζων ἄρα ἐστὶ καὶ ἡ ΡΘ περιφέρεια τῆς ΘΣ περιφερείας. ἀλλ' ἡ μὲν ΡΘ τῇ ΟΝ ἐστιν ἴση, ἡ δὲ ΘΣ τῇ ΝΛ· καὶ ἡ ΟΝ ἄρα περιφέρεια τῆς ΝΛ περιφερείας ἐστὶ μείζων.

ϛʹ.

Ἐὰν ἐπὶ μεγίστου κύκλου περιφερείας ὁ πόλος ᾖ τῶν παραλλήλων, καὶ τοῦτον τέμνωσι δύο μέγιστοι κύκλοι πρὸς ὀρθάς, ὧν ὁ μὲν εἷς τῶν παραλλήλων, ὁ δὲ ἕτερος λοξὸς πρὸς τοὺς παραλλήλους, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων, καὶ διὰ τῶν γενομένων σημείων καὶ τοῦ πόλου μέγιστοι κύκλοι γραφῶσιν, ἀνίσους ἀπολήψονται περιφερείας τοῦ μεγίστου τῶν παραλλήλων τὰς μεταξὺ αὐτῶν καὶ μείζονα ἀεὶ τὴν ἔγγιον τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τῆς πορρώτερον.

ἐπὶ γὰρ μεγίστου κύκλου περιφερείας τοῦ ΑΒΓ ὁ πόλος ἔστω τῶν παραλλήλων τὸ Α σημεῖον, καὶ τὸν ΑΒΓ κύκλον δύο μέγιστοι κύκλοι τεμνέτωσαν πρὸς ὀρθὰς οἱ ΒΖΓ, ΔΖΕ, ὧν ὁ μὲν ΒΖΓ εἷς τῶν παραλλήλων, ὁ δὲ ΔΖΕ λοξὸς πρὸς τοὺς παραλλήλους, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου τοῦ ΔΖΕ ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΚΘ, ΘΗ ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων τοῦ ΒΖΓ, διὰ δὲ τοῦ Α καὶ ἑκάστου τῶν Η, Θ, Κ σημείων μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΑΗΛ, ΑΘΜ, ΑΚΝ. λέγω, ὅτι μείζων ἐστὶν ἡ ΛΜ περιφέρεια τῆς ΜΝ περιφερείας.

1 ἴση E. τῇ] τῆς E. 2 ΡΘ] -Θ e corr. **D**. 3 ΒΖΓ (utrumque)] ΟΡΚΠ Hunt. ΗΘΚ] -Κ ab init. lin. in finem praecedentis transpos. **B**^{2}. ηθ κα θρ **C**. ΑΘΡ] Α- ab extr. lin. in init. sequentis transpos. **F**^{2}. 7 οἱ] ἡ **B**. 8 αὐτὸ **C**. 9 ΘΗ] ΘΝ **CD**. καὶ] om. **F**. 13 ΡΘ] corr. ex ΡΒΘ? **A**. ΘΣ] corr. ex ΘΗ? **A**. ἐστι] ἐστιν **A**, ἐστι` **C**. ἐστὶ καὶ] ἐστὶν **E**. 14 ΘΣ] ΣΘ **E**. ΟΝ] ΘΝ **C**. 15 ΝΛ (pr.)] ΗΛ **F**. 17 ϛʹ] mg. ext. **B**^{2}. 18 ἐπὶ] ἐπὶ τοῦ **C**, corr. **C**^{2}. 19 τέμνωσι] -σ- e corr. **F**,

abscisus est arcus ΣΘ minor quam dimidius segmenti erecti]. et arcus ΚΘ arcui ΘΗ aequalis est; itaque uterque ΚΘ, ΘΗ utroque ΡΘ, ΘΣ maior est. et quoniam ΒΖΓ circulo ΛΗΜ parallelus est, ΒΖΓ autem cum communi sectione circulorum ΗΘΚ, ΑΘΡ intra, hoc est ad centrum sphaerae uersus, concurrit, etiam circulus ΛΗΜ cum communi sectione circulorum ΗΘΚ, ΑΘΡ extra superficiem sphaerae ad punctum Θ uersus concurret.[1]) quoniam igitur in sphaera duo circuli maximi ΗΘΚ, ΣΘΡ inter se secant, ab altero autem eorum ΗΘΚ aequales arcus deinceps abscisi sunt ΚΘ, ΘΗ in utramque partem puncti Θ, et per puncta Η, Κ plana parallela ducta sunt ΛΗΜ, ΟΚΠ, quorum ΛΗΜ cum communi sectione planorum ΗΘΚ, ΣΘΡ concurrit extra superficiem sphaerae ad punctum Θ uersus, et alter arcuum aequalium ΚΘ, ΘΗ utroque ΡΘ, ΘΣ maior est, etiam arcus ΡΘ arcu ΘΣ maior est (prop. IV). uerum ΡΘ arcui ΟΝ aequalis est, ΘΣ autem arcui ΝΛ (II 10); ergo etiam arcus ΟΝ arcu ΝΛ maior est.

VI.[2])

Si polus parallelorum in ambitu circuli maximi positus est, et hunc duo circuli maximi ad rectos angulos secant, quorum alter unus ex parallelis est, alter autem ad parallelos obliquus, ab obliquo autem circulo arcus aequales deinceps abscinduntur ad easdem partes maximi parallelorum, et per puncta ita orta polumque circuli maximi describuntur, a maximo parallelorum inaequales arcus abscindent inter eos positos et proximum quemque circulo maximo ab initio posito maiorem remotiore.

in ambitu enim circuli maximi ΑΒΓ polus parallelorum positus sit punctum Α, et circulum ΑΒΓ duo circuli maximi ΒΖΓ, ΔΖΕ ad rectos angulos secent, quorum ΒΖΓ unus ex parallelis sit, ΔΖΕ autem ad parallelos obliquus, a circulo autem obliquo ΔΖΕ aequales arcus deinceps abscindantur ΚΘ, ΘΗ ad easdem partes maximi parallelorum ΒΖΓ, per Α autem singulaque puncta Η, Θ, Κ circuli maximi describantur ΑΗΛ, ΑΘΜ, ΑΚΝ. dico, arcum ΛΜ arcu ΜΝ maiorem esse.

τέμνωσιν **A**, τέμωσι **D**. μέγιστοι] del. **A**^{2}. πρὸς ὀρθάς] non adgnoscit Pappus VI 1, 23. 24 τὰς μεταξὺ αὐτῶν] om. **E**. ἔγγειον **A**, corr. **A**^{2}. 25 πορρωτέρω **E**. 26 γὰρ] γὰρ τοῦ **F**. 28 οἱ] ὁ **E**. post εἷς supra add. ἔστω **A**^{2}. 30 ΘΗ] -Η e corr. in scrib. **C**. 32 ἑκατρʹ **E**. Η, Θ, Κ] **ABEF**, e corr. **D**; Η, Θ **C**; Κ, Θ, Η e corr. **A**. 34 περιφερείας] -ας in ras. **E**.

1) Haec demonstranda erant; aliter Pappus VI 6.

2) Cfr. Pappus VI 13—32.


γεγράφθωσαν γὰρ διὰ τῶν Η, Θ, Κ σημείων παράλληλοι κύκλοι οἱ ΞΗΟ, ΠΘΡ, ΣΚΤ· μείζων ἄρα ἡ ΣΠ περιφέρεια τῆς ΠΞ περιφερείας διὰ τὸ προδειχθὲν θεώρημα. ἀλλ' ἡ μὲν ΣΠ τῇ ϒΘ ἐστιν ἴση, ἡ δὲ ΠΞ τῇ ΘΦ· καὶ ἡ ϒΘ ἄρα τῆς ΘΦ ἐστι μείζων. κείσθω οὖν τῇ ΘΦ ἴση ἡ ΘΧ· ἔστι δὲ καὶ ἡ ΗΘ τῇ ΘΚ ἴση· ἡ ἄρα ἀπὸ τοῦ Η ἐπὶ τὸ Φ ἐπιζευγνυμένη εὐθεῖα ἴση ἐστὶ τῇ ἀπὸ τοῦ Χ ἐπὶ τὸ Κ ἐπιζευγνυμένῃ εὐθείᾳ.

γεγράφθω δὴ διὰ τοῦ Χ τοῖς ἐξ ἀρχῆς παράλληλος κύκλος ὁ ϛΧΨΩ.

καὶ ἐπεὶ μέγιστος κύκλος ὁ ΑΨΚΝ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ϛΧΨΩ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ὁ ἄρα ΑΨΚΝ κύκλος ὀρθός ἐστι πρὸς τὸν ϛΧΨΩ κύκλον· ὥστε καὶ ὁ ϛΧΨΩ κύκλος ὀρθός ἐστι πρὸς τὸν ΑΨΚΝ κύκλον. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΒΖΓ, ϛΧΨΩ ὑπό τινος ἐπιπέδου τέμνεται τοῦ ΑΨΚΝ, αἱ κοιναὶ αὐτῶν ἄρα τομαὶ παράλληλοί εἰσιν· ἡ ἄρα κοινὴ τομὴ τῶν ΑΨΚΝ, ΒΖΓ, ἥπερ ἐστὶν ἡ ἀπὸ τοῦ Ν σημείου διάμετρος οὖσα τοῦ ΑΨΚΝ κύκλου, καὶ ἡ κοινὴ τομὴ τῶν ΑΨΚΝ, ϛΧΨΩ παράλληλοί εἰσιν· ὥστε ἡ κοινὴ τομὴ τῶν ΑΨΚΝ, ϛΧΨΩ παράλληλός ἐστι τῇ διαμέτρῳ τοῦ ΑΨΚΝ. εἰς δὴ κύκλον τὸν ΑΨΚΝ διῆκταί τις εὐθεῖα ἡ τῶν ΑΨΚΝ, ϛΧΨΩ κύκλων κοινὴ τομὴ εἰς ἄνισα τέμνουσα τὸν κύκλον· παράλληλος γάρ ἐστι τῇ διαμέτρῳ τοῦ ΑΨΚΝ κύκλου· καὶ ἐπ' αὐτῆς τμῆμα κύκλου ὀρθὸν ἐφέστηκε τὸ ΧΨ καὶ τὸ τούτῳ συνεχές, καὶ διῄρηται ἡ τοῦ ἐφεστῶτος τμήματος περιφέρεια εἰς ἄνισα κατὰ τὸ Χ, καὶ ἡ ΨΧ περιφέρεια ἐλάσσων ἐστὶν ἢ ἡμίσεια τοῦ ἐφεστῶτος τμήματος· ἡ ἄρα ἀπὸ τοῦ Χ ἐπὶ τὸ Ψ ἐπιζευγνυμένη εὐθεῖα ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Χ σημείου πρὸς τὴν ΨΚΝ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν. ἡ ἄρα ἀπὸ τοῦ Χ ἐπὶ τὸ Ψ ἐλάσσων ἐστὶ τῆς ἀπὸ τοῦ Χ ἐπὶ τὸ Κ· ὥστε ἡ ἀπὸ τοῦ Χ ἐπὶ τὸ Κ μείζων ἐστὶ τῆς ἀπὸ τοῦ Χ ἐπὶ τὸ Ψ. ἡ δὲ ἀπὸ τοῦ Χ ἐπὶ τὸ Κ ἴση ἐστὶ

1 γεγράφθωσαν] γε- in ras. **E**. τῶν] -ῶν in ras. **A**. Η] mut. in Κ **A**. Κ] mut. in Η **A**. 2 οἱ] ὁ **C**. ΞΗΒ **E**. ΣΠ] -Π e corr. **C**. Fig. male delineata in **E**. 4 ΘΦ (alt.)] ΣΘΦ **C**. ἐστι] comp. **C**, ἐστιν **A**. μείζων] μεί- in ras. **A**. 5 ἡ (tert.)] supra scr. **A**. Η] Θ **C**. τὸ] in ras. **A**. 6 ἴση—εὐθείᾳ (7)] mg. **C**. ἐστὶν **A**, comp. **C**. 7 εὐθείᾳ] -ᾳ e corr. **F**. 8 δὴ] del. $\mathbf{A}^2$. 10 κύκλος] om. **E**. 11 τὸν] $\mathbf{DEA}^2$, τῶν **ABCF**. ΧΨΩ **AD**, corr. $\mathbf{A}^2$. 12 ΨΚΝ **AD**, corr. $\mathbf{A}^2$. ἐστιν **A**, comp. **C**. τὸν] τ`` ∞ **C**. ϛΧΨΩ] ΧΨΩ **ADE**, corr. $\mathbf{A}^2$. 13 ϛΧΨΩ] ΧΨΩ **AD**, corr. $\mathbf{A}^2$. ἐστιν **A**, comp. **C**. κύκλον] om. **E**. 14 ΧΨΩ **AD**, corr. $\mathbf{A}^2$. τοῦ] τῶν **F**. 17 ΧΨΩ **AD**, corr. $\mathbf{A}^2$. 18 ϛΧΨΩ—ΑΨΚΝ (alt.) (19)] om. **E**. ὥστε—ΑΨΚΝ (pr.) (19)] suspecta Nizzio. τῶν] bis **B**, alt. del. ΧΨΩ **AD**, corr. $\mathbf{A}^2$. 19 ἐστιν **A**. τὸν] corr. ex τὴν **D**. 20 ΧΨΩ **AD**, corr. $\mathbf{A}^2$. τομὴ κοινὴ **B**. τὸ μὴ **E**. εἰς ἄνισα] -ς ἄνισ- in ras. **E**. τέμν^ε **E**. 21 ἐστιν **A**. 22 ἐφέστηκεν **A**. ΨΧ **BCF**.

per puncta enim Η, Θ, Κ circuli paralleli describantur ΞΗΟ, ΠΘΡ, ΣΚΤ; itaque arcus ΣΠ maior est arcu ΠΞ propter propositionem praecedentem (prop. V). uerum ΣΠ arcui ϒΘ aequalis est, ΠΞ autem arcui ΘΦ (II 10); quare etiam ϒΘ arcu ΘΦ maior est. ponatur igitur ΘΧ arcui ΘΦ aequalis; uerum etiam ΗΘ arcui ΘΚ aequalis est; quare recta ab Η ad Φ ducta rectae a Χ ad Κ ductae aequalis est (prop. III).



describatur igitur per Χ circulis ab initio positis parallelus circulus ϛΧΨΩ.

et quoniam circulus maximus ΑΨΚΝ circulum aliquem eorum, qui in sphaera sunt, ϛΧΨΩ per polos secat, in duas partes aequales eum secabit et ad angulos rectos (I 15); itaque circulus ΑΨΚΝ ad circulum ϛΧΨΩ perpendicularis est; quare etiam circulus ϛΧΨΩ ad circulum ΑΨΚΝ perpendicularis est. et quoniam duo plana parallela ΒΖΓ, ϛΧΨΩ plano aliquo ΑΨΚΝ secantur, communes eorum sectiones parallelae sunt (Eucl. XI 16); itaque communis sectio planorum ΑΨΚΝ, ΒΖΓ, quae est diametrus circuli ΑΨΚΝ a puncto Ν ducta (I 11), et communis sectio planorum ΑΨΚΝ, ϛΧΨΩ parallelae sunt; communis igitur sectio circulorum ΑΨΚΝ, ϛΧΨΩ diametro circuli ΑΨΚΝ parallela est. in circulum igitur ΑΨΚΝ recta aliqua perducta est, communis sectio planorum ΑΨΚΝ, ϛΧΨΩ, circulum in partes inaequales secans — nam diametro circuli ΑΨΚΝ parallela est —, et in ea segmentum circuli perpendiculare erectum est ΧΨ, et quod cum eo coniunctum est, et arcus segmenti erecti in partes inaequales in Χ diuisus est, et arcus ΨΧ minor est quam dimidius segmenti erecti; itaque recta a Χ ad Ψ ducta minor est omnibus rectis a puncto Χ ad arcum ΨΚΝ adcidentibus (prop. I). recta igitur a Χ ad Ψ ducta minor est recta a Χ ad Κ ducta; quare recta a Χ ad Κ ducta maior est recta a Χ ad Ψ ducta.

τούτῳ] e corr. $\mathbf{AA}^2$, τούτ^ω | **E**, τούτων **ABCDF**. 24 Χ] ᾱχ̄ **E**. ΧΨ **B**. 25 ἐπιζευγνυμένη—Ψ (27)] bis **D**. 26 πασῶν] supra scr. $\mathbf{B}^2$. σημείων **C**, sed corr. 29 ἐστὶν **A**. ἐστὶν **A**.

τῇ ἀπὸ τοῦ Η ἐπὶ τὸ Φ· καὶ ἡ ἀπὸ τοῦ Η ἄρα ἐπὶ τὸ Φ μείζων ἐστὶ τῆς ἀπὸ τοῦ Χ ἐπὶ τὸ Ψ. καὶ ἐπεὶ ὁ ΧΨΩ κύκλος ἔγγιόν ἐστι τοῦ κέντρου ἤπερ ὁ ΞΗΟ, μείζων ἄρα ἐστὶν ὁ ΧΨΩ κύκλος τοῦ ΞΗΟ κύκλου. ἐπεὶ οὖν δύο κύκλοι ἄνισοί εἰσιν οἱ ΧΨΩ, ΞΗΟ, καί ἐστιν ἐλάσσων ὁ ΞΗΟ, καὶ ἐν αὐτοῖς διηγμέναι εἰσὶν εὐθεῖαι, ἐν μὲν τῷ ΞΗΟ ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Φ, ἐν δὲ τῷ ΧΨΩ ἡ ἀπὸ τοῦ Χ ἐπὶ τὸ Ψ, καί ἐστιν ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Φ μείζων τῆς ἀπὸ τοῦ Χ ἐπὶ τὸ Ψ, ἡ ΗΦ ἄρα περιφέρεια τῆς ΧΨ περιφερείας μείζων ἐστὶν ἢ ὁμοία. ἀλλ' ἡ μὲν ΗΦ τῇ ΛΜ ἐστιν ὁμοία, ἡ δὲ ΧΨ τῇ ΜΝ ἐστιν ὁμοία· καὶ ἡ ΜΛ ἄρα περιφέρεια τῆς ΜΝ περιφερείας μείζων ἐστὶν ἢ ὁμοία. καί εἰσι τοῦ αὐτοῦ κύκλου· μείζων ἄρα ἡ ΛΜ περιφέρεια τῆς ΜΝ περιφερείας.

ζ'.

Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος κύκλου τινὸς τῶν ἐν τῇ σφαίρᾳ ἐφάπτηται, ἄλλος δέ τις μέγιστος κύκλος λοξὸς ὢν πρὸς τοὺς παραλλήλους μειζόνων ἐφάπτηται, ἢ ὧν ὁ ἐξ ἀρχῆς ἐφήπτετο, ἔτι δὲ αἱ ἁφαὶ ὦσιν ἐπὶ τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων, διὰ δὲ τῶν γενομένων σημείων παράλληλοι κύκλοι γραφῶσιν, ἀνίσους ἀπολήψονται περιφερείας τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τὰς μεταξὺ αὐτῶν καὶ μείζονα ἀεὶ τὴν ἔγγιον τοῦ μεγίστου τῶν παραλλήλων τῆς πορρώτερον.

ἐν γὰρ σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓ κύκλου τινὸς τῶν ἐν τῇ σφαίρᾳ τοῦ ΑΔ ἐφαπτέσθω κατὰ τὸ Α σημεῖον, ἄλλος δέ τις μέγιστος κύκλος ὁ ΕΖΗ λοξὸς ὢν πρὸς τοὺς παραλλήλους μειζόνων ἐφαπτέσθω, ἢ ὧν ὁ ΑΒΓ κύκλος ἐφάπτεται, ἔτι δὲ αἱ ἁφαὶ ἔστωσαν ἐπὶ τοῦ ΑΒΓ κύκλου κατὰ τὰ Ε, Η σημεῖα, μέγιστος δὲ τῶν παραλλήλων ἔστω ὁ ΒΖΓ, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου τοῦ ΕΖΗ ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΛΚ, ΚΘ ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων τοῦ ΒΖΓ, διὰ δὲ τῶν Θ, Κ, Λ σημείων παράλληλοι κύκλοι γεγράφθωσαν οἱ ΜΘΝ, ΞΚΟ, ΠΛΡ. λέγω, ὅτι μείζων ἐστὶν ἡ ΠΞ περιφέρεια τῆς ΞΜ περιφερείας.

γεγράφθω γὰρ διὰ τοῦ Κ σημείου τοῦ ΑΔ κύκλου ἐφαπτόμενος μέγιστος ὁ ΔΚΣ, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ Α ἡμικύκλιον ὡς

2 ΧΨΩ] ςχψω E. ἔγγειόν A, corr. A². 3 ὁ ΧΨΩ] οςχψω E, χ e corr. ΞΗΟ (alt.)] ΞΝΟ E. 4 εἰσι F. ςχψω E. 5 ΞΗΟ (alt.)] ΞΗΘ C. 6 ςχψω E. 7 ἡ (alt.)] corr. ex Η A. 8 τῆς ΧΨ περιφερείας] om. E. τῆς] seq. ras. 1—2 litt. C. ΧΨ] corr. ex ΤΨ D. ο⊃ mg. D. ὁμοία] ὁμοία τῆς ΧΨ περιφερείας E. 9 ΗΦ] ΝΦ D. ΛΜ] -Μ e corr. C. καί] om. E. 10 ΜΝ] ΚΝ C. 11 εἰσιν A. 13 ζ'] mg. ext. B² (euan.).

recta autem a Χ ad Κ ducta aequalis est rectae ab Η ad Φ ductae; quare etiam recta ab Η ad Φ ducta maior est recta a Χ ad Ψ ducta. et quoniam circulus ΧΨΩ centro propior est quam ΞΗΟ, circulus ΧΨΩ maior est circulo ΞΗΟ (I 6). quoniam igitur duo circuli inaequales sunt ΧΨΩ, ΞΗΟ, et minor est ΞΗΟ, et in eos perductae sunt rectae, in ΞΗΟ recta ab Η ad Φ, in ΧΨΩ autem recta a Χ ad Ψ, et recta ab Η ad Φ ducta maior est recta a Χ ad Ψ ducta, arcus ΗΦ arcu ΧΨ maior est quam similis (u. schol.). uerum ΗΦ arcui ΛΜ similis est, ΧΨ autem arcui ΜΝ similis (II 10); quare etiam arcus ΜΛ arcu ΜΝ maior est quam similis. et eiusdem circuli sunt; ergo arcus ΛΜ arcu ΜΝ maior est.

VII.

Si in sphaera circulus maximus circulum aliquem eorum, qui in sphaera sunt, contingit, alius autem aliquis circulus maximus ad parallelos obliquus maiores contingit, quam quos circulus ab initio positus contingebat, praeterea autem puncta contactus in circulo maximo ab initio posito sunt, ab obliquo autem circulo arcus aequales deinceps abscinduntur ad easdem partes maximi parallelorum, per puncta autem ita orta circuli paralleli describuntur, a circulo maximo ab initio posito arcus inaequales abscindent inter eos positos et proximum quemque maximo parallelorum maiorem remotiore.

in sphaera enim circulus maximus ΑΒΓ circulum aliquem eorum, qui in sphaera sunt, ΑΔ contingat in puncto Α, alius autem aliquis circulus maximus ΕΖΗ ad parallelos obliquus maiores contingat, quam quos circulus ΑΒΓ contingit, praeterea autem puncta contactus in circulo ΑΒΓ positi sint ad puncta Ε, Η, maximus autem parallelorum sit ΒΖΓ, ab obliquo autem circulo ΕΖΗ aequales arcus deinceps abscindantur ΛΚ, ΚΘ ad easdem partes maximi parallelorum ΒΖΓ, per puncta autem Θ, Κ, Λ circuli paralleli describantur ΜΘΝ, ΞΚΟ, ΠΛΡ. dico, arcum ΠΞ maiorem esse arcu ΞΜ.

per punctum Κ enim circulum ΑΔ contingens describatur circulus maximus ΔΚΣ ita, ut semicirculus ab Α descriptus ad

14 κύκλου] -ου in ras. B. τινὰ B, sed corr. 16 ὧν] e corr. A. ἐφήπτετο] -ήπτετο in ras. A, corr. ex ἐφάπτετο B. ἔτι] ἔτ- in ras. A. αἱ] in ras. A. 21 ἔγγειον A, corr. A². 22 πορρώτερον] pr. ο e corr. D, πορρωτέρω E. 25 πρὸς] παρὰ C. παραλήλους C. 29 ΚΘ] corr. ex ΚΞ? D. 31 ΞΚΟ] Ξ- in ras. E. ἐστὶ B, sed corr. 34 μέγιστος] ABCDF, κύκλος μέγιστος E, μέγιστος κύκλος A².


ἐπὶ τὰ Α, Β μέρη τῷ ἀπὸ τοῦ Δ ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Σ μέρη, καὶ εἰλήφθω ὁ πόλος τῶν παραλλήλων καὶ ἔστω τὸ Υ σημεῖον, καὶ διὰ τῶν Υ, Κ σημείων μέγιστος κύκλος γεγράφθω ὁ ΥΚΦ.

ἐπεὶ οὖν ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΥΚΦ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΠΛΡ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ὁ ΥΚΦ ἄρα κύκλος ὀρθός ἐστι πρὸς τὸν ΠΛΡ κύκλον. κύκλου δή τινος τοῦ ΠΛΡ ἐπὶ διαμέτρου τῆς ἀπὸ τοῦ Φ κύκλου τμῆμα ὀρθὸν ἐφέσταται τὸ ΦΚΥ καὶ τὸ τούτῳ συνεχές, καὶ διῄρηται ἡ τοῦ ἐφεστῶτος τμήματος περιφέρεια εἰς ἄνισα κατὰ τὸ Κ σημεῖον, καί ἐστιν ἐλάσσων ἢ ἡμίσεια ἡ ΦΚ· ἡ ἄρα ἀπὸ τοῦ Κ ἐπὶ τὸ Φ ἐπιζευγνυμένη εὐθεῖα ἐλαχίστη ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Κ σημείου πρὸς τὴν ΠΛΡ περιφέρειαν προσπιπτουσῶν εὐθειῶν, αἰεὶ δ' ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερόν ἐστιν ἐλάσσων. ἡ ἄρα ἀπὸ τοῦ Κ ἐπὶ τὸ Σ ἐπιζευγνυμένη εὐθεῖα ἐλάσσων ἐστὶ τῆς ἀπὸ τοῦ Κ ἐπὶ τὸ Λ ἐπιζευγνυμένης εὐθείας· ὥστε ἡ ἀπὸ τοῦ Κ ἐπὶ τὸ Λ ἐπιζευγνυμένη εὐθεῖα μείζων ἐστὶ τῆς ἀπὸ τοῦ Κ ἐπὶ τὸ Σ ἐπιζευγνυμένης εὐθείας. καί εἰσιν ἴσοι οἱ ΔΚΣ, ΕΛΗ κύκλοι· μέγιστοι γάρ εἰσιν· μείζων ἄρα ἡ ΚΛ περιφέρεια τῆς ΚΣ περιφερείας. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΘΚ περιφέρεια μείζων ἐστὶ τῆς ΚΨ περιφερείας. καί ἐστιν ἴση ἡ ΘΚ τῇ ΚΛ· μία ἄρα τῶν ΘΚ, ΚΛ ἑκατέρας τῶν ΨΚ, ΚΣ μείζων ἐστίν. καὶ ἐπεὶ παράλληλός ἐστιν ὁ ΒΖΓ κύκλος τῷ ΜΘΝ κύκλῳ, ὁ δὲ ΒΖΓ κύκλος συμπίπτει τῇ τῶν ΘΚΛ, ΨΚΣ κοινῇ τομῇ ἐντὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ κέντρον τῆς σφαίρας, καὶ ὁ ΜΘΝ ἄρα κύκλος ἐκβαλλόμενος συμπίπτει τῇ τῶν ΘΚΛ, ΨΚΣ κοινῇ τομῇ ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ Κ σημεῖον. ἐπεὶ οὖν ἐν σφαίρᾳ μέγιστοι κύκλοι οἱ ΘΚΛ, ΨΚΣ τέμνουσιν ἀλλήλους κατὰ τὸ Κ σημεῖον, ἀπὸ δὲ ἑνὸς αὐτῶν τοῦ ΘΚΛ ἴσαι περιφέρειαι ἀπειλημμέναι εἰσὶν αἱ ΘΚ, ΚΛ ἑξῆς ἐφ' ἑκάτερα τοῦ σημείου, καθ' ὃ τέμνουσιν ἀλλήλους, καὶ διὰ τῶν Θ, Λ σημείων παράλληλα ἐπίπεδα ἐκβέβληται τὰ ΠΛΡ, ΜΘΝ, ὧν τὸ

1 Α, Β] Β Nizze. Δ] Λ **B**. 2 Υ] $\bar{ϙ}$ **AD**, $\bar{υ}$ A^2. 3 τῶν] corr. ex τὸ **A**. Υ] mut. in $\bar{υ}$ **A**, ut saepius; $\bar{υ}$ **D**, $\bar{υ}$ **F**. 5 πόλων] -λων in ras. **A**. τέμνει] in ras. **A**. 6 ΥΚΦ] ΥΦ **AD**, corr. A^2. ἐστιν **A**, comp. **C**. ΠΛΡ] corr. ex ΠΑΡ **A**. 7 ΠΛΡ] corr. ex ΠΑΡ **A**. 8 ἐφέσταται] **E**, ἐφίσταται **ABCDF**. 10 Κ] in ras. **A**. ἐπὶ τὸ Φ] om. **E**. 11 ἐστὶν **A**. ΠΛΡ] corr. ex ΠΑΡ **A**. 12 δ'] **ACDEF**, δὲ BA^2. ἔγγειον **A**, corr. A^2. αὐτοῦ **E**. ἀπώτερόν] ἀπώ- e corr. **B**, πορρω^τρ' **E**. 14 ἐστὶν **A**, comp. **C**. 15 τὸ Λ — εὐθείας (16)] del. A^2. 16 ΔΚΣ] ΔΣ **AD**, corr. A^2. 17 μέγιστοι κύκλοι **E**. εἰσιν] **A**, εἰσι **BCDEF**. τῆς] τῇ **C**. In fig. arcus in arcu ΞΟ non concurrunt in **EF**; Ψ] om. **D**, Τ] Ψ eras. **A**; Γ] corr. ex Β C^2, Ζ] euan. **C**; Φ et Ρ add. C^2. 18 ΚΘ **E**. 19 ΘΚ] ΚΘ **BE**. τῶν] e corr. **F**. 20 ἐστίν] **A**, comp. **C**, ἐστί **BDEF**. 21 ΒΖΓ (utrumque)] ΠΦΣΛΡ Hunt. $\overline{μθ}^ν$ **D**. ΒΖΓ (alt.)] $\overline{βζ}^γ$ **D**. 23 ἐκβαλόμενος **C**. 24 τῆς σφαίρας] om. **C**. 27 ΘΚ] ΘΝ **BC**. 29 παράλληλοι **E**, sed corr. in scrib.

partes Α, Β uersus cum semicirculo a Δ descripto ad partes Σ uersus non concurrat (II 13), et sumatur polus parallelorum (I 21; II 1) et sit punctum Υ, et per puncta Υ, Κ circulus maximus describatur ΥΚΦ (I 20).

quoniam igitur in sphaera circulus maximus ΥΚΦ circulum aliquem eorum, qui in sphaera sunt, ΠΛΡ per polos secat, in duas partes aequales eum secabit et ad rectos angulos (I 15); itaque circulus ΥΚΦ ad circulum ΠΛΡ perpendicularis est. in circulo igitur aliquo ΠΛΡ in diametro a Φ ducta segmentum circuli perpendiculare erectum est ΦΚΥ, et quod cum eo coniunctum est, et arcus segmenti erecti in puncto Κ in partes inaequales diuisus est, et ΦΚ minor est quam dimidius; itaque recta a Κ ad Φ ducta minima est omnium rectarum a puncto Κ ad arcum ΠΛΡ adcidentium (prop. I), proxima autem quaeque ei remotiore minor (p. 114, 11 sqq.). recta igitur a Κ ad Σ ducta minor est recta a Κ ad Λ ducta; quare recta a Κ ad Λ ducta maior est recta a Κ ad Σ ducta. et circuli ΔΚΣ, ΕΛΗ aequales sunt; maximi enim sunt; itaque arcus ΚΛ maior est arcu ΚΣ. similiter igitur demonstrabimus, etiam arcum ΘΚ maiorem esse arcu ΚΨ. et ΘΚ arcui ΚΛ aequalis est; itaque unus arcuum ΘΚ, ΚΛ utroque ΨΚ, ΚΣ maior est. et quoniam circulus ΒΖΓ circulo ΜΘΝ parallelus est, circulus autem ΒΖΓ cum communi sectione circulorum ΘΚΛ, ΨΚΣ intra superficiem sphaerae concurrit ad centrum sphaerae uersus, etiam circulus ΜΘΝ productus cum communi sectione circulorum ΘΚΛ, ΨΚΣ extra superficiem sphaerae concurrit ad punctum Κ uersus (u. p. 132, 2 sqq.). quoniam igitur in sphaera circuli maximi ΘΚΛ, ΨΚΣ inter se secant in puncto Κ, ab uno autem eorum ΘΚΛ aequales arcus ΘΚ, ΚΛ deinceps abscisi sunt in utramque partem puncti, in quo inter se secant, et per puncta Θ, Λ plana parallela ducta sunt ΠΛΡ, ΜΘΝ, quorum ΜΘΝ cum communi sec-



ΜΘΝ συμπίπτον τῇ τῶν ΘΚΛ, ΨΚΣ κύκλων κοινῇ τομῇ ἐκτὸς τῆς ἐπιφανείας τῆς σφαίρας ὡς κατὰ τὸ Κ σημεῖον, μία δὲ τῶν ΘΚ, ΚΛ περιφερειῶν μείζων ἐστὶν ἑκατέρας τῶν ΣΚ, ΚΨ, μείζων ἄρα καὶ ἡ ΣΚ τῆς ΚΨ. ἀλλ' ἡ μὲν ΣΚ τῇ ΠΞ ἐστιν ἴση, ἡ δὲ ΚΨ τῇ ΜΞ· καὶ ἡ ΠΞ ἄρα τῆς ΞΜ ἐστι μείζων.

η'.

Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος κύκλου τινὸς τῶν ἐν τῇ σφαίρᾳ ἐφάπτηται, ἄλλος δέ τις μέγιστος κύκλος λοξὸς ὢν πρὸς τοὺς παραλλήλους μειζόνων ἐφάπτηται, ἢ ὧν ὁ ἐξ ἀρχῆς ἐφήπτετο, ἔτι δὲ αἱ ἁφαὶ ὦσιν ἐπὶ τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου ἴσαι περιφέρειαι ἀποληφθῶσιν ἑξῆς ἐπὶ τὰ αὐτὰ τοῦ μεγίστου τῶν παραλλήλων, διὰ δὲ τῶν γενομένων σημείων γραφῶσι μέγιστοι κύκλοι ἐφαπτόμενοι, οὗ καὶ ὁ ἐξ ἀρχῆς ἐφήπτετο, ὁμοίας ἀφαιροῦντες περιφερείας τῶν παραλλήλων κύκλων τὰς μεταξὺ αὐτῶν ἀσύμπτωτα ποιοῦντες τὰ ἀπὸ τῶν ἐπαφῶν ἡμικύκλια ὡς ἐπὶ τὰ μέρη τῶν σημείων, δι' ὧν ἐγράφησαν, τῷ ἡμικυκλίῳ τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τῷ, ἐφ' οὗ ἂν ᾖ ἡ συναφὴ τοῦ λοξοῦ κύκλου ἡ μεταξὺ τοῦ τε φανεροῦ πόλου καὶ τοῦ μεγίστου τῶν παραλλήλων, ἀνίσους ἀπολήψονται περιφερείας τοῦ μεγίστου τῶν παραλλήλων τὰς μεταξὺ αὐτῶν καὶ μείζονα ἀεὶ τὴν ἔγγιον τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τῆς πορρώτερον.

ἐν γὰρ σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓ κύκλου τινὸς τῶν ἐν τῇ σφαίρᾳ τοῦ ΑΔ ἐφαπτέσθω κατὰ τὸ Α σημεῖον, ἄλλος δέ τις μέγιστος κύκλος ὁ ΕΖΓ λοξὸς ὢν πρὸς τοὺς παραλλήλους μειζόνων ἐφαπτέσθω, ἢ ὧν ὁ ΑΒΓ κύκλος ἐφάπτεται, ἔτι δὲ αἱ ἁφαὶ ἔστωσαν ἐπὶ τοῦ ΑΒΓ κύκλου κατὰ τὰ Ε, Γ σημεῖα, μέγιστος δὲ τῶν παραλλήλων ἔστω ὁ ΒΖ, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου τοῦ ΕΖΓ ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΗΘ, ΘΚ ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων τοῦ ΒΖ, καὶ διὰ τῶν Η, Θ, Κ σημείων μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΔΗΛ, ΜΘΝ, ΞΚΟ ἐφαπτόμενοι τοῦ ΑΔ κύκλου κατὰ τὰ Δ, Μ, Ξ σημεῖα ὁμοίας ἀφαιροῦντες περιφερείας τῶν παραλλήλων κύκλων τὰς μεταξὺ αὐτῶν. λέγω, ὅτι μείζων ἐστὶν ἡ ΛΝ περιφέρεια τῆς ΝΟ περιφερείας.

γεγράφθωσαν γὰρ διὰ τῶν Η, Θ, Κ σημείων παράλληλοι κύκλοι οἱ ΠΗΡ, ΣΘ, ΤΥΚ· μείζων ἄρα ἐστὶν ἡ ΣΤ περιφέρεια τῆς ΣΠ περι-

tione planorum ΘΚΛ, ΨΚΣ extra superficiem sphaerae concurrit ad punctum K uersus, unus autem arcuum ΘΚ, ΚΛ utroque ΣΚ, ΚΨ maior est, etiam ΣΚ arcu ΚΨ maior est (prop. IV). uerum ΣΚ arcui ΠΞ aequalis est, ΚΨ autem arcui ΜΞ (II 13); ergo etiam ΠΞ arcu ΞΜ maior est.

VIII.

Si in sphaera circulus maximus circulum aliquem eorum, qui in sphaera sunt, contingit, alius autem aliquis circulus maximus ad parallelos obliquus maiores contingit, quam quos circulus ab initio positus contingebat, praeterea autem puncta contactus in circulo maximo ab initio posito sunt, ab obliquo autem circulo arcus aequales deinceps abscinduntur in easdem partes maximi parallelorum, per puncta autem ita orta circuli maximi describuntur contingentes, quem etiam circulus ab initio positus contingebat, a circulis parallelis arcus inter eos positos similes abscindentes, ita ut semicirculos a punctis contactus ad partes eorum punctorum uersus, per quae descripti sunt, non concurrentes efficiant cum eo semicirculo circuli maximi ab initio positi, in quo est contactus circuli obliqui inter polum adparentem maximumque parallelorum positus, a maximo parallelorum inaequales arcus abscindent inter eos positos et proximum quemque circulo maximo ab initio posito remotiore maiorem.

in sphaera enim circulus maximus ΑΒΓ circulum aliquem eorum, qui in sphaera sunt, ΑΔ in puncto Α contingat, alius autem aliquis circulus maximus ΕΖΓ ad parallelos obliquus maiores contingat, quam quos circulus ΑΒΓ contingit, praeterea autem puncta contactus in circulo ΑΒΓ positi sint ad puncta Ε, Γ, maximus autem parallelorum sit ΒΖ, ab obliquo autem circulo ΕΖΓ aequales arcus deinceps abscindantur ΗΘ, ΘΚ ad easdem partes uersus maximi parallelorum ΒΖ, et per puncta Η, Θ, Κ circuli maximi describantur ΔΗΛ, ΜΘΝ, ΞΚΟ circulum ΑΔ in punctis Δ, Μ, Ξ contingentes a circulis parallelis arcus inter eos positos similes abscindentes (II 13). dico, arcum ΛΝ maiorem esse arcu ΝΟ.

describantur enim per puncta Η, Θ, Κ circuli paralleli ΠΗΡ, ΣΘ, ΤΥΚ; arcus ΣΤ igitur maior est arcu ΣΠ (prop. VII).

2 ΚΛ] Ε, Λ **ABCDF**. 3 ἄρα] om. **B** ‖. 4 ΣΚ (pr.)] ΚΣ **D**. ΠΞ ÷ **E**. ΜΞ] corr. ex ΜΖ **B**. 5 ἐστιν **AB**. 6 η'] mg. ext. **B**². 9 ὦσιν] ὦ- e corr. **D**. 11 ἀποληφθῶσι **B**. τοῦ] in ras. **B**. μεγίστου] με- in ras. **B**. 12 γραφῶσιν **B**. 13 ἐφήπτετο] -ήπτετο in ras. **B**. 14 ·/· π |λλήλων **E**. ἀσύμπτωτα—τῶν παραλλήλων (18)] mg. **A** (·/·). τὰ] -ὰ supra scr. **A**. 15 ἡμικυκλ **C**; ἡμικύκλῖ **A**, sed corr. τὰ] corr. ex τ͂ **A**². δι' ὧν] corr. ex δῖ **A**². ἐγράφησαν] corr. ex ἐγράφη **A**².


16 τ͂ ἡμικυκλῖ **A**, corr. **A**²; similiter saepius; τοῦ ἡμικυ **D**. τοῦ] post ras. **E**. κύκλου] corr. ex κύκλι **A**². τῷ (alt.)] τοῦ **D**. 19 ἔγγειον **A**. 20 πορρωτέρω **E**. 25 κατὰ] **BCFA**², om. **ADE**. 29 ΞΚΘ **C**, Ξ- e corr. in scrib. 30 περιφερείας] post ras. **E**. 32 Η] postea ins. **D**. 33 ΠΗΡ] ΠΝΡ **DF**, corr. **F**. ΣΠ] ΠΣ **BCF**.

φερείας. ἀλλ' ἡ μὲν ΣΤ ἴση ἐστὶ τῇ ΘΥ, ἡ δὲ ΣΠ ἴση ἐστὶ τῇ ΘΡ· καὶ ἡ ΥΘ ἄρα τῆς ΘΡ μείζων ἐστίν. κείσθω οὖν τῇ ΘΡ ἴση ἡ ΘΦ· ἔστι δὲ καὶ ἡ ΗΘ τῇ ΘΚ ἴση· ἡ ἄρα ἀπὸ τοῦ Η ἐπὶ τὸ Ρ ἐπιζευγνυμένη εὐθεῖα ἴση ἐστὶ τῇ ἀπὸ τοῦ Φ ἐπὶ τὸ Κ ἐπιζευγνυμένῃ εὐθείᾳ. γεγράφθω δὴ διὰ τοῦ Φ ὁποτέρῳ τῶν ΠΗΡ, ΣΘ, ΤΥΚ, ΒΖ παράλληλος κύκλος ὁ ΧΦΨ, καὶ εἰλήφθω ὁ πόλος τῶν παραλλήλων κύκλων τὸ Ω σημεῖον, καὶ διὰ τῶν Ω, Ο σημείων μέγιστος κύκλος γεγράφθω ὁ ΩΟ.

καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΩΟ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΒΖ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· ὁ ΩΟ ἄρα κύκλος ὀρθός ἐστι πρὸς τὸν ΒΖ κύκλον· ὁ ΞΚΟ ἄρα πρὸς τὸν ΖΒ κέκλιται ὡς ἐπὶ τὰ Α, Ε, Β μέρη· καὶ ὁ ΒΖ ἄρα πρὸς τὸν ΞΚΟ κέκλιται ὡς ἐπὶ τὰ Α, Ε, Β μέρη. παράλληλος δὲ ὁ ΒΖ τῷ ΧΦΨ· καὶ ὁ ΧΦΨ ἄρα πρὸς τὸν ΞΚΟ κέκλιται ὡς ἐπὶ τὰ Ξ μέρη. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΒΖ, ΧΦΨ ὑπό τινος ἐπιπέδου τοῦ λοξοῦ τέμνεται τοῦ ΞΚΟ, αἱ κοιναὶ αὐτῶν τομαὶ ἄρα παράλληλοί εἰσιν· ἡ ἄρα κοινὴ τομὴ τῶν ΞΚΟ, ΧΦΨ παράλληλός ἐστι τῇ τῶν ΞΚΟ, ΒΖ κοινῇ τομῇ. ἡ δὲ κοινὴ τομὴ τῶν ΞΚΟ, ΒΖ ἐστιν ἡ ἀπὸ τοῦ Ο σημείου διάμετρος τοῦ ΞΚΟ κύκλου· ἡ ἄρα κοινὴ τομὴ τῶν ΞΚΟ, ΧΦΨ, ἥτις ἐστὶν ἀπὸ τοῦ Ψ σημείου διηγμένη, παράλληλός ἐστι τῇ ἀπὸ τοῦ Ο διαμέτρῳ τοῦ ΞΚΟ κύκλου. εἰς δὴ κύκλον τὸν ΞΚΟ διῆκταί τις εὐθεῖα ἡ τῶν ΞΚΟ, ΧΦΨ κοινὴ τομὴ εἰς ἄνισα τέμνουσα τὸν κύκλον· παράλληλος γάρ ἐστι τῇ διαμέτρῳ τοῦ ΞΚΟ κύκλου· καὶ ἐπ' αὐτῆς τμῆμα κύκλου ἐφέστηκε τὸ ΧΨ καὶ τὸ τούτῳ συνεχὲς κεκλιμένον πρὸς τὸ μὴ μεῖζον ἡμικυκλίου, καὶ διήρηται ἡ τοῦ ἐφεστῶτος τμήματος περιφέρεια εἰς ἄνισα κατὰ τὸ Φ σημεῖον, καὶ ἡ ΦΨ ἐλάσσων ἐστὶν ἢ ἡμίσεια τοῦ ἐφεστῶτος τμήματος· ἡ ἄρα ἀπὸ τοῦ Φ ἐπὶ τὸ Ψ ἐπιζευγνυμένη εὐθεῖα ἐλάσσων ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Φ σημείου πρὸς τὴν μὴ ἐλάσσονα ἡμικυκλίου περιφέρειαν προσπιπτουσῶν

1 ἐστὶν **A**, comp. **C**. ΘΥ] ΘΗ **B**. ἐστὶ] ἐστὶν **A**, comp. **C**. 2 ἐστίν] **E**, ἐστί **ABCDF**. 3 ἔστιν **A**. ἡ (alt.)] supra scr. **A**^{2}. τοῦ Η] in ras. **E**. 4 ἐστὶν **A**, comp. **C**. 5 ΒΖ] Β- corr. ex Γ in scrib. **A**. In fig. recta a B ad arcum ΤΥ add. in **F**; Π, Σ, Χ, Τ euan. in **D**; Λ om. **BC**, N] mut. in Λ **B**; Υ om. **E**, arcum ΖΓ om. **E**, litt. Ζ, Γ in puncto sectionis arcus ΒΟ circulique ΑΒΓ coll. **E**. 6 ΧΨΦ **B**. 7 Ο] in ras. **A**^{2}. 8 τῶν] τὸν **B**. 9 τὸν] τῶν **F**. καὶ | καὶ **D**. 10 ἐστιν **A**, comp. **C**. ΞΚΟ] **D**; Ξ- e corr. **AE**, corr. ex Ζ **BCF**. 11 ΖΒ] in ras. **D**, mut. in ΒΖ **A**^{2}. κέκλειται **A**, corr. **A**^{2}. Β] postea ins. **F**. 12 τὸν ΞΚΟ] τὸ $\overline{\nu\xi}$ $\overline{\kappa o}$ **E**, corr. ex τὸν ΖΚΟ **BF**. κέκλειται **A**, corr. **A**^{2}. 13 ΧΨΦ (utr.) **B**. τὸν ΞΚΟ] τὸ $\overline{\nu\xi}$ $\overline{\kappa o}$ **E**, ΞΚΟ **F**. κέκλειται **A**, corr. **A**^{2}. 14 ΧΨΦ **B**. 15 τέ$^{\tau}$μηται **E**. τομαὶ αὐτῶν **E**. 16 ΧΨΦ **B**. 17 ἐστιν **A**. ΞΚΟ (alt.)] corr. ex ΞΚΘ **C**^{2}. 18 ΞΚΟ] ΞΗΘ **C**. 19 ΧΦΨ **B**. Ante ἀπὸ ins. ἡ **A**^{2}. 20 ἐστιν **A**, comp. **C**. 21 τις] supra scr. | **F**. ΧΨΦ **B**, ΧΦΨ κύκλων **E**. 22 τέμνουσι **E**. ἐστιν **A**, comp. **C**. 23 ἐφέστηκεν **AB**. τὸ (alt.)] in ras. **E**.

uerum ΣΤ arcui ΘΥ aequalis est, ΣΠ autem arcui ΘΡ aequalis (II 13); quare etiam ΥΘ arcu ΘΡ maior est. ponatur igitur ΘΦ arcui ΘΡ aequalis; uerum etiam ΗΘ arcui ΘΚ aequalis est; quare etiam recta ab Η ad Ρ ducta rectae a Φ ad Κ ductae aequalis est (prop. III). describatur igitur per Φ singulis circulis ΠΗΡ, ΣΘ, ΤΥΚ, ΒΖ parallelus circulus ΧΦΨ, et sumatur polus circulorum parallelorum punctum Ω (I 21; II 1), et per puncta Ω, Ο circulus maximus describatur ΩΟ (I 20).



et quoniam in sphaera circulus maximus ΩΟ circulum aliquem eorum, qui in sphaera sunt, ΒΖ per polos secat, in duas partes aequales eum secabit et ad rectos angulos (I 15); circulus igitur ΩΟ ad circulum ΒΖ perpendicularis est; itaque ΞΚΟ ad circulum ΖΒ inclinatus est ad partes Α, Ε, Β uersus; quare etiam ΒΖ ad ΞΚΟ inclinatus est ad partes Α, Ε, Β uersus. parallelus autem ΒΖ circulo ΧΦΨ; quare etiam ΧΦΨ ad circulum ΞΚΟ inclinatus est ad partes Ξ uersus. et quoniam duo plana parallela ΒΖ, ΧΦΨ plano aliquo, obliquo scilicet, ΞΚΟ secantur, communes eorum sectiones parallelae sunt (Eucl. XI 16); sectio igitur communis circulorum ΞΚΟ, ΧΦΨ parallela est communi sectioni circulorum ΞΚΟ, ΒΖ. communis autem sectio circulorum ΞΚΟ, ΒΖ diametrus est circuli ΞΚΟ a puncto Ο ducta (I 11); itaque communis sectio circulorum ΞΚΟ, ΧΦΨ, quae recta est a puncto Ψ perducta, diametro circuli ΞΚΟ a puncto Ο ductae parallela est. in circulum igitur ΞΚΟ recta aliqua perducta est, communis sectio circulorum ΞΚΟ, ΧΦΨ, circulum in partes inaequales secans — nam diametro circuli ΞΚΟ parallela est —, et in ea segmentum circuli erectum est ΧΨ, et quod cum eo coniunctum est, ad segmentum non maius semicirculo inclinatum, et arcus segmenti erecti in puncto Φ in partes inaequales diuisus est, et arcus ΦΨ minor est quam dimidius segmenti;[1]) itaque recta a Φ ad Ψ ducta minor est omnibus rectis a puncto Φ ad arcum non minorem semicirculo adcidentibus (prop. II); itaque recta a

24 κεκλειμένον **A**, corr. **A**^{2}. τὸ] **A**^{2}, το **E**, τὸν **ABCDF**. διαιρεῖται **E**. 26 ἐστὶν] om. **D**. ἢ] supra scr. **A**. 28 σημείων **E**. ἐλάσσωνα **A**, sed corr.

1) Hoc demonstrandum erat (ex II 5 et 9).

εὐθειῶν· ἡ ἄρα ἀπὸ τοῦ Φ ἐπὶ τὸ Ψ ἐλάσσων ἐστὶ τῆς ἀπὸ τοῦ Φ ἐπὶ τὸ Κ. ἡ δὲ ἀπὸ τοῦ Φ ἐπὶ τὸ Κ ἴση ἐστὶ τῇ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ρ· ὥστε ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ρ μείζων ἐστὶ τῆς ἀπὸ τοῦ Φ ἐπὶ τὸ Ψ. καὶ ἐπεὶ ὁ ΨΦΧ κύκλος ἔγγιόν ἐστι τοῦ κέντρου τῆς σφαίρας ἤπερ ὁ ΠΗΡ, μείζων ἄρα ὁ ΧΦΨ κύκλος τοῦ ΠΗΡ κύκλου. ἐπεὶ οὖν δύο κύκλοι ἄνισοί εἰσιν οἱ ΧΦΨ, ΠΗΡ, καὶ ἐλάσσων ἐστὶν ὁ ΠΗΡ κύκλος, καὶ ἐν αὐτοῖς διηγμέναι εἰσὶν εὐθεῖαι, ἐν μὲν τῷ ΠΗΡ ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ρ, ἐν δὲ τῷ ΧΦΨ ἡ ἀπὸ τοῦ Φ ἐπὶ τὸ Ψ, καὶ ἡ ἐν τῷ ἐλάσσονι κύκλῳ διηγμένη μείζων ἐστὶ τῆς ἐν τῷ μείζονι κύκλῳ διηγμένης εὐθείας, τουτέστι μείζων ἐστὶν ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ρ τῆς ἀπὸ τοῦ Φ ἐπὶ τὸ Ψ, ἡ ΗΡ ἄρα περιφέρεια τῆς ΨΦ περιφερείας μείζων ἐστὶν ἢ ὁμοία. ἀλλ' ἡ μὲν ΗΡ περιφέρεια τῇ ΛΝ περιφερείᾳ ἐστὶν ὁμοία, ἡ δὲ ΦΨ τῇ ΝΟ ἐστιν ὁμοία· καὶ ἡ ΛΝ ἄρα μείζων ἐστὶν ἢ ὁμοία τῆς ΝΟ. καί εἰσι τοῦ αὐτοῦ κύκλου· μείζων ἄρα ἐστὶν ἡ ΛΝ περιφέρεια τῆς ΝΟ περιφερείας.

θ'.

Ἐὰν ἐπὶ μεγίστου κύκλου περιφερείας ὁ πόλος ᾖ τῶν παραλλήλων, καὶ τοῦτον τέμνωσι δύο μέγιστοι κύκλοι πρὸς ὀρθάς, ὧν ὁ μὲν εἷς τῶν παραλλήλων, ὁ δὲ ἕτερος λοξὸς πρὸς τοὺς παραλλήλους, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου ἴσαι περιφέρειαι ἀποληφθῶσι μὴ οὖσαι ἑξῆς, ἐπὶ τὰ αὐτὰ δὲ μέρη τοῦ μεγίστου τῶν παραλλήλων κύκλου, διὰ δὲ τῶν γενομένων σημείων καὶ τοῦ πόλου μέγιστοι κύκλοι γραφῶσιν, ἀνίσους ἀπολήψονται περιφερείας τοῦ μεγίστου τῶν παραλλήλων τὰς μεταξὺ αὐτῶν καὶ μείζονα αἰεὶ τὴν ἔγγιον τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου τῆς πορρώτερον.

ἐπὶ γὰρ μεγίστου κύκλου περιφερείας τοῦ ΑΒΓ ὁ πόλος ἔστω τῶν παραλλήλων τὸ Α σημεῖον, καὶ τὸν ΑΒΓ κύκλον δύο μέγιστοι κύκλοι τεμνέτωσαν οἱ ΔΕΓ, ΒΕ πρὸς ὀρθάς, ὧν ὁ μὲν ΒΕ τῶν παραλλήλων, ὁ δὲ ΔΕΓ λοξὸς πρὸς τοὺς παραλλήλους, ἀπὸ δὲ τοῦ λοξοῦ κύκλου τοῦ ΔΕΓ ἴσαι περιφέρειαι ἀπειλήφθωσαν μὴ οὖσαι ἑξῆς, ἐπὶ τὰ αὐτὰ δὲ μέρη τοῦ μεγίστου τῶν παραλλήλων τοῦ ΒΕ αἱ ΖΗ, ΘΚ, καὶ διὰ τῶν Ζ, Η, Θ, Κ σημείων καὶ τοῦ Α πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΑΖΛ, ΑΗΜ, ΑΘΝ, ΑΚΞ. λέγω, ὅτι μείζων ἐστὶν ἡ ΛΜ περιφέρεια τῆς ΝΞ περιφερείας.

ἡ γὰρ ΗΘ ταῖς ΖΗ, ΘΚ ἤτοι σύμμετρός ἐστιν ἢ οὔ.

1 ἐλάττων C. ἐστὶν A, comp. C. τοῦ (alt.)] -οῦ in ras. E. 2 ἐστὶν A, comp. C. H] postea ins. A. 3 ἐστὶν A, comp. C. 4 ἔγγειόν A, corr. A². 5 ΠΗΡ (pr.)] -H- e corr. B. Post ἄρα add. ἐστὶν (comp.) A². ὁ] seq. ras. 1 litt. | E. 6 ΧΨΦ B. ἔλασσόν ἐστι F. 8 ΧΨΦ B. ἐλάσσωνι A, sed corr. 9 ante μείζων ins. ἄρα A². ἐστὶν A, comp. C. 10 τουτέστιν A, comp. C. 12 ΛΝ] ΛΗ C. 13 ΛΝ] -N in ras. A. ΝΟ] E, -O e corr. AF, ΝΘ BCDF. εἰσιν A. 15 θ'] mg. ext. B². 17 τέμνωσιν A, τέμν^ω E. εἷς] corr. ex εἶ A². 19 ἀποληφθῶσιν A.

Φ ad Ψ ducta minor est recta a Φ ad K ducta. recta autem a Φ ad K ducta aequalis est rectae ab H ad P ductae (prop. III); quare recta ab H ad P ducta maior est recta a Φ ad Ψ ducta. et quoniam circulus ΨΦΧ centro sphaerae propior est quam ΠΗΡ, circulus ΧΦΨ maior est circulo ΠΗΡ (I 6). quoniam igitur duo circuli inaequales sunt ΧΦΨ, ΠΗΡ, et minor est circulus ΠΗΡ, et in iis perductae sunt rectae, in ΠΗΡ recta ab H ad P ducta, in ΧΦΨ autem recta a Φ ad Ψ ducta, et recta in circulo minore perducta maior est recta in maiore circulo perducta, hoc est recta ab H ad P perducta maior recta a Φ ad Ψ perducta, arcus HP arcu ΨΦ maior est quam similis (u. p. 137). uerum arcus HP arcui ΛΝ similis est, ΦΨ autem arcui ΝΟ similis (Eucl. III def. 11); quare etiam ΛΝ arcu ΝΟ maior est quam similis. et eiusdem circuli sunt; ergo arcus ΛΝ maior est arcu ΝΟ.

IX.

Si polus parallelorum in ambitu circuli maximi positus est, et hunc ad rectos angulos secant duo circuli maximi, quorum alter unus ex parallelis est, alter autem ad parallelos obliquus, ab obliquo autem circulo aequales arcus abscinduntur non deinceps positi, ad easdem autem partes circuli maximi parallelorum, per puncta autem ita orta polumque circuli maximi describuntur, a maximo parallelorum inaequales arcus abscindent inter eos positos et proximum quemque circulo maximo ab initio posito maiorem remotiore.

in ambitu enim circuli maximi ΑΒΓ polus parallelorum positus sit punctum A, et circulum ΑΒΓ duo circuli maximi ad rectos angulos secent ΔΕΓ, ΒΕ, quorum ΒΕ ex parallelis sit, ΔΕΓ autem ad parallelos inclinatus, a circulo autem obliquo ΔΕΓ arcus aequales abscindantur ΖΗ, ΘΚ, non deinceps positi, ad easdem autem partes maximi parallelorum ΒΕ, et per puncta Ζ, Η, Θ, Κ polumque A circuli maximi describantur ΑΖΛ, ΑΗΜ, ΑΘΝ, ΑΚΞ (I 20). dico, arcum ΛΜ maiorem esse arcu ΝΞ.

ΗΘ enim arcubus ΖΗ, ΘΚ aut commensurabilis est aut non commensurabilis.

20 δὲ (pr.)] in ras. A², om. D. κύκλου] AD, κύκλων BCF, om. E. 21 γραφῶσιν] DEFA², ἐγγράφθωσαν A, γραφθῶσιν B, γεγραφθῶσιν C. 23 ἀεὶ DE. ἔγγειον A, corr. A². πορρωτέρω E. 24 ἐπὶ] -ὶ in ras. A. πόλος] ^{πο}κύκλος C. 26 ΔΕΓ] ΔΕ- in ras. A. Post alt. BE ins. εἷς ἔστω A². 27 κύκλου] -ύ- in ras. E. 28 δὲ] in ras. A², om. D. 30 ΖΗ, ΘΚ σημείου E. 31 ΑΘΝ] ΑΘΕ B. 33 ταῖς] τῆς D. ΘΚ] -K e corr. in scrib. C.

ἔστω πρότερον σύμμετρος ἡ ΗΘ ταῖς ΖΗ, ΘΚ, καὶ διῃρήσθωσαν αἱ ΖΗ, ΗΘ, ΘΚ εἰς τὰ μέρη κατὰ τὰ Ο, Π, Ρ, Σ σημεῖα, καὶ διὰ τῶν Ο, Π, Ρ, Σ σημείων καὶ τοῦ Α πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΟΤ, ΠΥ, ΡΦ, ΣΧ.

ἐπεὶ οὖν αἱ ΖΟ, ΟΗ, ΗΠ, ΠΡ, ΡΘ, ΘΣ, ΣΚ περιφέρειαι ἑξῆς ἴσαι ἀλλήλαις εἰσίν, αἱ ΛΤ, ΤΜ, ΜΥ, ΥΦ, ΦΝ, ΝΧ, ΧΞ ἄρα ἑξῆς ἀλλήλων μείζονές εἰσιν ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΛΤ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ μὲν ΛΤ τῆς ΝΧ, ἡ δὲ ΤΜ τῆς ΧΞ, ὅλη ἄρα ἡ ΛΜ ὅλης τῆς ΝΞ μείζων ἐστίν.

μὴ ἔστω δὴ ἡ ΗΘ ταῖς ΖΗ, ΘΚ σύμμετρος. λέγω, ὅτι ὁμοίως μείζων ἐστὶν ἡ ΛΜ περιφέρεια τῆς ΝΞ περιφερείας.

εἰ γὰρ μή ἐστιν ἡ ΛΜ τῆς ΝΞ περιφερείας μείζων, ἤτοι ἐλάσσων ἐστὶν αὐτῆς ἢ ἴση.

ἔστω πρότερον, εἰ δυνατόν, ἐλάσσων ἡ ΛΜ τῆς ΝΞ, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς.

κείσθω τῇ ΛΜ ἴση ἡ ΝΟ, καὶ διὰ τοῦ Α πόλου καὶ τοῦ Ο μέγιστος κύκλος γεγράφθω ὁ ΠΟ, καὶ τριῶν οὐσῶν περιφερειῶν ὁμοιογενῶν ἀνίσων τῶν ΚΘ, ΘΠ, ΗΘ εἰλήφθω τις περιφέρεια ἡ ΘΡ μείζων μὲν οὖσα τῆς ΘΠ, ἐλάσσων δὲ τῆς ΘΚ, σύμμετρος δὲ τῇ ΗΘ, καὶ κείσθω τῇ ΘΡ ἴση ἡ ΣΗ, καὶ διὰ τῶν Σ, Ρ σημείων καὶ [διὰ] τοῦ Α πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΣΤ, ΡΥ.

ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΣΗ τῇ ΘΡ, καὶ σύμμετρός ἐστιν ἡ ΗΘ ἑκατέρᾳ τῶν ΣΗ, ΘΡ, ἡ ΤΜ ἄρα τῆς ΝΥ μείζων ἐστίν. τῆς δὲ ΤΜ ἡ ΛΜ μείζων ἐστίν· πολλῷ ἄρα ἡ ΜΛ τῆς ΝΟ μείζων ἐστίν. ἀλλὰ καὶ ἴση· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ΛΜ τῆς ΝΞ.

λέγω δέ, ὅτι οὐδὲ ἴση ἐστὶν ἡ ΛΜ τῇ ΝΞ.

2 ΗΘ] Η- in ras. **B**. εἰς] corr. ex εἰ **B**². σημεῖα] seq. ras. 1 litt. **A**. 4 π̄υρ̄ φ̄ **F**. 5 περιφερείας **E**. 6. 7 μείζονές εἰσιν ἑξῆς ἀλλήλων **B**. 7 ἐπεὶ] καὶ ἐπεὶ **E**. 9 ἐστίν] **A**, ἐστῖ **D**, comp. **C**, ἐστί **BEF**. 10 δὴ ἡ] **DE**, e corr. **A**, δ' ἡ corr. ex δὴ **BF**, δὲ ἡ **C**. ΗΘ] ΝΘ τῆς ΖΗ **D**. ΘΚ] ΚΘ **B**. 11 τῆς ΝΞ] e corr. **E**. 12 ΛΜ] **ACDEF**, ΛΜ περιφέρεια **BA**². 13 ἢ] ins. **A**². 16 κείσθω] καὶ κείσθω **DE**. ΝΟ] ΟΝ **E**. 17 ΠΟ] Π- in ras. **A**. Post καὶ 1 litt. del. **C**. τρειῶν **B**. 18 # ἀνίσων **E**. ΚΘ] ΘΚ **B**. ΗΘ] ΝΘ **C**. τις περιφέρεια] corr. ex τῆς περιφερείας? **A**². Ad fig. I ᾱ **BE**, α' **F**; fig. bis **F**; Τ (pr. loco)] corr. ex Ψ **F**; Π] **A**², om. **ACD**; Ρ] corr. ex Π **A**², Π **D**; inter Ζ et Α 1 litt. eras. **C**; Η] κ corr. in κ **D**, Χ] Κ **D**. Ad fig. II β̄ **BCEF**; fig. bis **B**; Θ] **A**², om. **AD**; Ρ (pr. loco)] Β **B**; Σ] Η **E**, Η] Ν **E**. μὲν] πρωτ' **E**. 19 δὲ] om. **F**. 20 Σ] Ε **C**. διὰ] deleo. 21 κύκλοι] κύκλ- in ras. **A**. 22 ΣΗ—ἡ] bis **D**. ἐστιν] δὲ **E**. 23 τῶν ΣΗ] -ν Σ- in ras. **E**. ἐστίν] **AE**, comp. **C**, ἐστί **BDF**. 24 ἐστίν (pr.)] **A**, comp. **C**, ἐστί **BDEF**. ΝΟ] -Ο e corr. **A**. 25 ἐστιν (pr.)] om. **E**. 26 λέγω—ΝΞ] bis **A**, pr. del. **A**². δὲ] om. **E**.

prius ΗΘ arcubus ΖΗ, ΘΚ commensurabilis sit, et ΖΗ, ΗΘ, ΘΚ in partes diuidantur in punctis Ο, Π, Ρ, Σ [Eucl. X 3], et per puncta Ο, Π, Ρ, Σ polumque Α circuli maximi describantur ΟΤ, ΠΥ, ΡΦ, ΣΧ (I 20).

quoniam igitur arcus ΖΟ, ΟΗ, ΗΠ, ΠΡ, ΡΘ, ΘΣ, ΣΚ deinceps inter se aequales sunt, arcus ΛΤ, ΤΜ, ΜΥ, ΥΦ, ΦΝ, ΝΧ, ΧΞ deinceps inter se maiores sunt a maximo ΛΤ incipientes (prop. VI). quoniam igitur ΛΤ arcu ΝΧ maior est, et ΤΜ arcu ΧΞ, totus ΛΜ toto ΝΞ maior est.

iam uero ΗΘ arcubus ΖΗ, ΘΚ commensurabilis ne sit. dico, similiter arcum ΛΜ arcu ΝΞ maiorem esse.

nam, si ΛΜ arcu ΝΞ maior non est, aut eo minor est aut ei aequalis.

prius, si fieri potest, ΛΜ arcu ΝΞ minor sit, ut in secunda figura est.

ponatur ΝΟ arcui ΛΜ aequalis, et per polum Α punctumque Ο circulus maximus describatur ΠΟ (I 20), et datis tribus arcubus inaequalibus eiusdem generis ΚΘ, ΘΠ, ΗΘ arcus aliquis sumatur ΘΡ maior arcu ΘΠ, minor autem arcu ΘΚ, arcui ΗΘ autem commensurabilis (u. schol.), et ponatur ΣΗ aequalis arcui ΘΡ, et per puncta Σ, Ρ polumque Α circuli maximi describantur ΣΤ, ΡΥ (I 20).

quoniam igitur ΣΗ arcui ΘΡ aequalis est, et ΗΘ utrique ΣΗ, ΘΡ commensurabilis est, ΤΜ arcu ΝΥ maior est (p. 146, 8—9). uerum ΛΜ maior est arcu ΤΜ; itaque multo magis ΜΛ arcu ΝΟ maior est.[1]) uerum idem aequalis est; quod fieri non potest. ergo ΛΜ arcu ΝΞ minor non est.

dico autem, ne aequalem quidem esse ΛΜ arcui ΝΞ.

1) Nam $N\Upsilon > NO$.

εἰ γὰρ δυνατόν, ἔστω, ὡς ἔχει ἐπὶ τῆς γ' καταγραφῆς, καὶ τετμήσθωσαν αἱ ΖΗ, ΘΚ δίχα κατὰ τὰ Ο, Π σημεῖα, καὶ διὰ τῶν Ο, Π σημείων καὶ τοῦ Α πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΟΡ, ΠΣ.

ἐπεὶ οὖν αἱ ΖΟ, ΟΗ ἑξῆς ἴσαι ἀλλήλαις εἰσίν, αἱ ἄρα ΛΡ, ΡΜ ἑξῆς ἀλλήλων μείζονές εἰσιν ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΛΡ· μείζων ἄρα ἐστὶν ἡ ΛΡ τῆς ΡΜ· ἡ ἄρα ΛΜ τῆς ΜΡ μείζων ἐστὶν ἢ διπλῆ. πάλιν, ἐπεὶ αἱ ΘΠ, ΠΚ ἑξῆς ἴσαι ἀλλήλαις εἰσίν, αἱ ΝΣ, ΣΞ ἄρα ἑξῆς ἀλλήλων μείζους εἰσὶν ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΝΣ· μείζων ἄρα ἐστὶν ἡ ΝΣ τῆς ΣΞ· ὥστε ἡ ΞΝ τῆς ΝΣ ἐλάσσων ἐστὶν ἢ διπλῆ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΛΜ τῇ ΝΞ, ὧν ἡ ΛΜ τῆς ΜΡ μείζων ἐστὶν ἢ διπλῆ, ἡ δὲ ΞΝ τῆς ΝΣ ἐλάσσων ἐστὶν ἢ διπλῆ, ἐλάσσων ἄρα ἐστὶν ἡ ΡΜ τῆς ΝΣ ἴσων ὑποκειμένων τῶν ΟΗ, ΘΠ· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἴση ἐστὶν ἡ ΛΜ τῇ ΝΞ. ἐδείχθη δέ, ὅτι οὐδ' ἐλάσσων· μείζων ἄρα ἐστὶν ἡ ΛΜ περιφέρεια τῆς ΝΞ περιφερείας.

ι'.


Ἐὰν ἐπὶ μεγίστου κύκλου περιφερείας ὁ πόλος ᾖ τῶν παραλλήλων, καὶ τοῦτον τέμνωσι δύο μέγιστοι κύκλοι πρὸς ὀρθάς, ὧν ὁ μὲν εἷς τῶν παραλλήλων, ὁ δὲ ἕτερος λοξὸς πρὸς τοὺς παραλλήλους, ἐπὶ δὲ τοῦ λοξοῦ κύκλου ληφθῇ δύο τυχόντα σημεῖα ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων, διὰ δὲ τῶν σημείων καὶ τοῦ πόλου μέγιστοι κύκλοι γραφῶσιν, ἔσται, ὡς ἡ τοῦ μεγίστου τῶν παραλλήλων περιφέρεια ἡ μεταξὺ τοῦ ἐξ ἀρχῆς μεγίστου κύκλου καὶ τοῦ ἑξῆς διὰ τῶν πόλων πρὸς τὴν τοῦ λοξοῦ κύκλου περιφέρειαν τὴν μεταξὺ τῶν αὐτῶν κύκλων, οὕτως ἡ ἑξῆς τοῦ μεγίστου τῶν παραλλήλων περιφέρεια ἡ μεταξὺ τῶν διὰ τοῦ πόλου μεγίστων κύκλων καὶ τῶν ληφθέντων σημείων πρὸς ἐλάσσονά τινα περιφέρειαν τῆς τοῦ λοξοῦ κύκλου περιφερείας τῆς μεταξὺ τῶν ληφθέντων δύο σημείων.

ἐπὶ γὰρ μεγίστου κύκλου περιφερείας τοῦ ΑΒΓ ὁ πόλος ἔστω τῶν παραλλήλων τὸ Α σημεῖον, καὶ τὸν ΑΒΓ κύκλον δύο κύκλοι τεμνέτωσαν

1 ἔχει] om. **B**. γ'] **ABCF**, τρίτης **DEA**[2]. καὶ] ἔχει καὶ **B**. τεμνέσθωσαν **E**. 3 ΠΣ] ΠΡ post ras. **E**. 4 ΟΗ] -Η in ras. **E**. ΛΡ] ΛΜ **D**. 5 μείζονες ἀλλήλων **E**. 7 ἀλλήλαις] tert. λ in ras. **E**. ΣΞ] Σ- in ras. **A**[2], ΕΞ **D**. 8 ἀλλήλων] supra tert. λ ras. **E**. μείζονες **E**. ΝΣ] ΜΣ **AD**, corr. **A**[2]. 9 ΣΞ] Σ- e corr. **C**[2]. ὥστε] ὥστε καὶ **E**. 10 τῇ] τῆς **AB**, -ς eras. **A**. ὧν—ΜΡ] mg. **A**, κείμενον add. **A**[2]. ΜΡ] Μ- in ras. **A**[2]. 11 ἡ δὲ—διπλῆ] om. **C**. 12 ΟΗ] ΟΝ **C**. ἀδύνατον·· **E**. 13 τῇ] τῆς **AB**, -ς eras. **A**. οὐδὲ **BE**. 14 ΝΞ] corr. ex ΗΞ **A**. Ad fig. γ̄ **BCEF**. 15 ι'] mg. ext. **B**[2]. 16 ὁ] om. **B**. πόλ° seq. ras. **E**. 17 τέμνω̄·· **E**. μέγιστοι] om. **E**. ὀρθάς] ὀρθὰς | μέγιστοι **E**. ὧν ὁ] in ras. **A**. 19 λοξοῦ] λο- supra scr. **A**. ληφθῇ] -η- in ras. **A**, ληφθείη **E**. σημεῖα τυχόντα **B**. 20 post πόλου supra add. τῶν παραλλήλων **A**[2]. 23 αὐτῶν] om. **C**. 25 ἐλάσσωνά **A**. 28 περιφερείας] in ras. **D**.

nam, si fieri potest, sit aequalis, ut in tertia figura est, et arcus ΖΗ, ΘΚ in punctis Ο, Π in binas partes aequales secentur, et per puncta Ο, Π polumque Α circuli maximi describantur ΟΡ, ΠΣ.

quoniam igitur ΖΟ, ΟΗ deinceps inter se aequales sunt, ΛΡ, ΡΜ deinceps inter se maiores sunt a maximo ΛΡ incipientes (prop. VI); ΛΡ igitur arcu ΡΜ maior est; quare ΛΜ maior est quam duplus arcus ΜΡ. rursus, quoniam ΘΠ, ΠΚ deinceps inter se aequales sunt, ΝΣ, ΣΞ deinceps inter se maiores sunt a maximo ΝΣ incipientes (prop. VI); ΝΣ igitur arcu ΣΞ maior est; quare ΞΝ minor est quam duplus arcus ΝΣ. quoniam igitur ΛΜ arcui ΝΞ aequalis est, quorum ΛΜ maior est quam duplus arcus ΜΡ, ΞΝ autem minor quam duplus arcus ΝΣ, ΡΜ minor est arcu ΝΣ, aequalibus suppositis arcubus ΟΗ, ΘΠ (p. 144, 27 sqq.); quod fieri non potest (prop. VI); ergo ΛΜ arcui ΝΞ aequalis non est. demonstrauimus autem, eum ne minorem quidem esse; ergo arcus ΛΜ arcu ΝΞ maior est.



X.

Si in ambitu circuli maximi polus parallelorum positus est, et hunc ad rectos angulos duo circuli maximi secant, quorum alter unus ex parallelis est, alter autem ad parallelos obliquus, in obliquo autem circulo duo quaelibet puncta sumuntur ad easdem partes maximi parallelorum, per puncta autem polumque circuli maximi describuntur, erit, ut arcus maximi parallelorum inter circulum maximum ab initio positum circulumque deinceps per polos ductum positus ad arcum circuli obliqui inter eosdem circulos positum, ita arcus maximi parallelorum deinceps inter circulos maximos per polum ductos punctaque sumpta positus ad arcum aliquem minorem arcu circuli obliqui inter duo puncta sumpta posito.

in ambitu enim circuli maximi ΑΒΓ polus parallelorum positus sit punctum Α, et circulum ΑΒΓ duo circuli maximi ad

μέγιστοι πρὸς ὀρθὰς οἱ ΔΕΓ, ΒΕ, ὧν ὁ μὲν ΒΕ τῶν παραλλήλων, ὁ δὲ ΔΕΓ λοξὸς πρὸς τοὺς παραλλήλους, ἐπὶ δὲ τοῦ λοξοῦ κύκλου τοῦ ΔΕΓ εἰλήφθω δύο τυχόντα σημεῖα τὰ Ζ, Η ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων τοῦ ΒΕ, καὶ διὰ τῶν Ζ, Η σημείων καὶ τοῦ Α πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΑΖΘ, ΑΗΚ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΖ περιφέρειαν, οὕτως ἡ ΘΚ περιφέρεια πρὸς ἐλάσσονά τινα περιφέρειαν τῆς ΖΗ περιφερείας.

ἤτοι γὰρ ἡ ΖΗ τῇ ΔΖ σύμμετρός ἐστιν ἢ οὔ.

ἔστω πρότερον σύμμετρος, καὶ διῃρήσθωσαν εἰς τὰ μέρη αἱ ΔΖ, ΗΖ κατὰ τὰ Λ, Μ, Ν σημεῖα, καὶ διὰ τῶν Λ, Μ, Ν καὶ τοῦ Α πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΛΞ, ΜΟ, ΝΠ.

ἐπεὶ οὖν αἱ ΔΛ, ΛΜ, ΜΖ, ΖΝ, ΝΗ ἑξῆς ἴσαι ἀλλήλαις εἰσίν, αἱ ἄρα ΒΞ, ΞΟ, ΟΘ, ΘΠ, ΠΚ ἑξῆς μείζους ἀλλήλων εἰσὶν ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΒΞ. ἐπεὶ οὖν αἱ ΒΞ, ΞΟ, ΟΘ, ΘΠ, ΠΚ ἑξῆς μείζους ἀλλήλων εἰσίν, αἱ δὲ ΔΛ, ΛΜ, ΜΖ, ΖΝ, ΝΗ ἑξῆς ἴσαι ἀλλήλαις εἰσίν, καί ἐστι τὸ μὲν πλῆθος τῶν ΒΞ, ΞΟ, ΟΘ ἴσον τῷ πλήθει τῶν ΔΛ, ΛΜ, ΜΖ, τὸ δὲ πλῆθος τῶν ΘΠ, ΠΚ ἴσον τῷ πλήθει τῶν ΖΝ, ΝΗ, ἡ ΒΘ ἄρα πρὸς τὴν ΔΖ μείζονα λόγον ἔχει ἤπερ ἡ ΘΚ πρὸς τὴν ΖΗ. ἐὰν ἄρα ποιῶμεν, ὡς τὴν ΒΘ πρὸς ΔΖ, οὕτως τὴν ΘΚ πρὸς ἄλλην τινά, ἔσται πρὸς ἐλάσσονα τῆς ΖΗ· ἔστιν ἄρα, ὡς ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΖ περιφέρειαν, οὕτως ἡ ΘΚ πρὸς ἐλάσσονά τινα περιφέρειαν τῆς ΖΗ.


μὴ ἔστω δὴ ἡ ΖΗ τῇ ΔΖ σύμμετρος. λέγω, ὅτι καὶ οὕτως ἐστίν, ὡς ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΖ περιφέρειαν, οὕτως ἡ ΘΚ περιφέρεια πρὸς ἐλάσσονά τινα τῆς ΖΗ περιφερείας.

εἰ γὰρ μή, ἤτοι πρὸς μείζονα τῆς ΖΗ ἔσται ἢ πρὸς αὐτήν.

---

1 μέγιστοι] om. **B**. Post alt. ΒΕ supra add. εἰς ἔστω **A**². 5 γεγράφωσαν **D**. ΑΖΘ] -Ζ- in ras. **F**. ΑΝΚ **C**. 9 μέρη] **BCDF**, e corr. **A**; μέτρα **AE**. 10 ΗΖ] -Ζ in ras. **F**. σημεῖα—Ν] supra scr. **C**². In fig. add. τοῦ ια **C**; Α] om **D**; fig. in fine prop. repetit **E** (Ζ] Ξ). 11 κύκλοι] om. **E**. 13 ΞΟ] ΞΘ **AD**, corr. **A**. ΠΚ] ΠΝ **C**, ΠΞ **D**. μείζονές εἰσιν ἀλλήλων **E**. 14 ΒΞ (pr.)] **BEFA**², ΒΖ **ACD**. ΒΞ (alt.)] ΒΖ? **C**. 15 εἰσίν (alt.)] **A**, εἰσί **BCDEF**. 16 ἐστιν **A**. Post ΟΘ del. ΘΠ, ΠΚ **C**. ΔΛ] om. **BC**. 17 τὸ] corr. ex τῷ in scrib. **C**. ΠΚ] ΠΗ **C**. ΖΝ] ΖΗ **BE**, corr. **E**. 19 ἄρα] γὰρ **E**. ΔΖ] τὴν ΔΖ **BE**. οὕτω **D**. 20 ἐλάσσωνα **A**, sed corr. 21 τινα] om. **E**. 22 τῆς] τῇ **C**. 24 ΔΖ] corr. ex ΒΖ **A**. περιφέρειαν] περιφέ|| **B**, περιφέ| **E**. 25 ἐλάσσωνα **A**. περιφέρειαν **E**.


rectos angulos secent ΔΕΓ, ΒΕ, quorum ΒΕ ex parallelis sit, ΔΕΓ autem ad parallelos obliquus, in obliquo autem circulo ΔΕΓ duo quaelibet puncta sumantur Ζ, Η ad easdem partes maximi parallelorum ΒΕ posita, et per puncta Ζ, Η polumque Α circuli maximi describantur ΑΖΘ, ΑΗΚ (I 20). dico, esse, ut arcus ΒΘ ad arcum ΔΖ, ita arcum ΘΚ ad arcum aliquem minorem arcu ΖΗ.



ΖΗ enim arcui ΔΖ aut commensurabilis est aut non commensurabilis.

prius commensurabilis sit, et ΔΖ, ΗΖ in punctis Λ, Μ, Ν in partes diuidantur, et per Λ, Μ, Ν polumque Α circuli maximi describantur ΛΞ, ΜΟ, ΝΠ.

quoniam igitur arcus ΔΛ, ΛΜ, ΜΖ, ΖΝ, ΝΗ deinceps inter se aequales sunt, arcus ΒΞ, ΞΟ, ΟΘ, ΘΠ, ΠΚ deinceps inter se maiores sunt a maximo ΒΞ incipientes (prop. VI). quoniam igitur ΒΞ, ΞΟ, ΟΘ, ΘΠ, ΠΚ deinceps inter se maiores sunt, ΔΛ, ΛΜ, ΜΖ, ΖΝ, ΝΗ autem deinceps inter se aequales, et numerus arcuum ΒΞ, ΞΟ, ΟΘ numero arcuum ΔΛ, ΛΜ, ΜΖ aequalis est, numerus autem arcuum ΘΠ, ΠΚ numero arcuum ΖΝ, ΝΗ aequalis, ΒΘ ad ΔΖ maiorem rationem habet, quam ΘΚ ad ΖΗ.[1] itaque, si fecerimus, ut ΒΘ ad ΔΖ, ita ΘΚ ad alium aliquem, erit ad minorem arcu ΖΗ (Eucl. V 8); ergo, ut arcus ΒΘ ad arcum ΔΖ, ita ΘΚ ad arcum aliquem minorem arcu ΖΗ.



iam uero ΖΗ arcui ΔΖ commensurabilis ne sit. dico, sic quoque esse, ut arcus ΒΘ ad arcum ΔΖ, ita arcum ΘΚ ad minorem aliquem arcu ΖΗ.

nam si minus, erit aut ad arcum maiorem arcu ΖΗ aut ad eum ipsum.

---

1) Hoc demonstrandum erat.

ἔστω πρότερον, εἰ δυνατόν, πρὸς μείζονα τῆς ZH τὴν ΛZ, ὡς ἔχει ἐπὶ τῆς β′ καταγραφῆς, καὶ τριῶν οὐσῶν ἀνίσων περιφερειῶν τῶν ΛZ, ZH, ZΔ εἰλήφθω τις περιφέρεια ἡ ZM τῆς μὲν ZΛ οὖσα ἐλάσσων, τῆς δὲ ZH μείζων, σύμμετρος δὲ τῇ ZΔ, καὶ διὰ τοῦ M καὶ τοῦ A πόλου μέγιστος κύκλος γεγράφθω ὁ MN.

ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ ZM τῇ ZΔ, ἔστιν ἄρα, ὡς ἡ BΘ πρὸς τὴν ΔZ, οὕτως ἡ ΘN πρὸς ἐλάσσονά τινα τῆς ZM. ὡς δὲ ἡ BΘ πρὸς τὴν ΔZ, οὕτως ἐστὶν ἡ ΘK πρὸς τὴν ZΛ· ὡς ἄρα ἡ ΘK πρὸς τὴν ZΛ, οὕτως ἐστὶν ἡ ΘN πρὸς ἐλάσσονα τῆς ZM· καὶ ἐναλλάξ· ὡς ἄρα ἡ ΘK πρὸς τήν ΘN, οὕτως ἡ ZΛ πρὸς ἐλάσσονα τῆς ZM. ἐλάσσων δὲ ἡ ΘK τῆς ΘN· ἐλάσσων ἄρα καὶ ἡ ΛZ τῆς ἐλάσσονος τῆς ZM. ἀλλὰ καὶ μείζων· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐστίν, ὡς ἡ BΘ πρὸς τὴν ΔZ, οὕτως ἡ ΘK πρὸς μείζονά τινα περιφέρειαν τῆς ZH περιφερείας.

λέγω δέ, ὅτι οὐδὲ πρὸς αὐτήν.

εἰ γὰρ δυνατόν, ἔστω, ὡς ἡ BΘ πρὸς τὴν ΔZ, οὕτως ἡ ΘK πρὸς τὴν ZH, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ τετμήσθω ἑκατέρα τῶν ΔZ, ZH δίχα κατὰ τὰ Λ, M σημεῖα, καὶ διὰ ἑκατέρου τῶν Λ, M σημείων καὶ τοῦ A πόλου μέγιστοι κύκλοι γεγράφθωσαν οἱ ΛN, MΞ.

ἐπεὶ οὖν αἱ ΔΛ, ΛZ ἑξῆς ἴσαι ἀλλήλαις εἰσίν, αἱ BN, NΘ ἄρα ἑξῆς μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς BN· ἡ BΘ ἄρα τῆς ΘN μείζων ἐστὶν ἢ διπλῆ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ KΘ τῆς ΘΞ ἐλάσσων ἐστὶν ἢ διπλῆ. ἐπεὶ οὖν ἡ μὲν BΘ τῆς ΘN μείζων ἐστὶν ἢ διπλῆ, ἡ δὲ KΘ τῆς ΘΞ ἐλάσσων ἐστὶν ἢ διπλῆ, ἡ BΘ ἄρα πρὸς τὴν ΘN μείζονα λόγον ἔχει ἤπερ ἡ KΘ πρὸς τὴν ΘΞ· καὶ ἐναλλάξ· ἡ BΘ ἄρα πρὸς τὴν ΘK μείζονα λόγον ἔχει ἤπερ ἡ NΘ πρὸς τὴν ΘΞ. ὡς δὲ ἡ BΘ πρὸς τὴν ΘK, οὕτως ἐστὶν ἡ ΔZ πρὸς τὴν ZH· ἡ NΘ ἄρα πρὸς τὴν ΘΞ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΔZ πρὸς τὴν ZH. ὡς δὲ ἡ ΔZ πρὸς τὴν ZH, οὕτως ἐστὶν ἡ ΛZ πρὸς τὴν ZM· ἡ NΘ ἄρα πρὸς τὴν ΞΘ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΛZ πρὸς τὴν ZM· καὶ ἐναλλάξ· ἡ NΘ ἄρα πρὸς τὴν ΛZ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΘΞ πρὸς τὴν ZM. ἐὰν ἄρα ποιῶμεν, ὡς τὴν NΘ πρὸς τὴν ΛZ, οὕτως

1 ΛZ] ZΛ **E**. 2 β′] B̄ e corr. **A**, δευτέρας **E**. ΛZ] corr. ex AZ **A**. 3 ZH] HZ **B**. 4 ZΔ] ΔZ **EF**. 6 ZΔ] -Δ e corr. **D**, corr. ex -B **A**. ἔστιν] e corr. **D**. ἄρα] ἄ- e corr. **D**. BΘ] -Θ e corr. **C**. 7 ΘN] Θ- in ras. **F**, ΘΥ? **C**. Ante ὡς ins. καὶ (comp.) **A²**. Ad fig. add. β̄ **F²**; in fig. arcum ΛΞ add. E inter MN et E; H] N **D**. Fig. in fine propos. repetit **E** litteris omissis. 9 καὶ—ZM (10)] om. **D**. ἐναλάξ **B**, corr. **B²**. ὡς ἄρα] mut. in ἄρα ὡς **A²**. 10 τὴν] om. **E**. ΘN] seq. ras. 2 litt. **E**, ΘH **C**. ZΛ] ΛZ **E**. 11 καὶ] postea ins. **A**. 12 μεῖζον **C**. 13 τινα] om. **E**. 14 αὐτ̀` **C**, corr. **C²**. 17 δι' **EA²**. 18 MΞ] -Ξ e corr. in scrib.? **C**, MZ **B**. 20 ἡ] supra scr. **A**. 21 ὁμοίως—διπλῆ (22)] bis **D**. 22 ἐπεὶ] ἐ- in ras. **E**. ἐπεὶ—alt. διπλῆ (23)] om. **C**. 23 KΘ] e


prius, si fieri potest, sit ad ΛZ maiorem arcu ZH, ut est in figura secunda, et datis tribus arcubus inaequalibus ΛZ, ZH, ZΔ sumatur arcus aliquis ZM arcu ZΛ minor, maior autem arcu ZH, commensurabilis autem arcui ZΔ (u. p. 147), et per M polumque A describatur circulus maximus MN (I 20).

quoniam igitur ZM arcui ZΔ commensurabilis est, erit, ut BΘ ad ΔZ, ita ΘN ad minorem aliquem arcu ZM (p. 150, 20 sqq.). uerum, ut BΘ ad ΔZ, ita ΘK ad ZΛ; itaque, ut ΘK ad ZΛ, ita ΘN ad minorem arcu ZM; quare etiam permutando (Eucl. V 16), ut ΘK ad ΘN, ita ZΛ ad minorem arcu ZM. uerum $\Theta K < \Theta N$; quare etiam ΛZ arcu minore ZM minor est. uerum idem maior est; quod fieri non potest. ergo non est, ut BΘ ad ΔZ, ita ΘK ad arcum aliquem maiorem arcu ZH.

dico autem, eum ne ad ipsum quidem eam rationem habere.

nam, si fieri potest, sit $B\Theta : \Delta Z = \Theta K : ZH$, ut est in tertia figura, et uterque ΔZ, ZH in punctis Λ, M in binas partes aequales secetur, et per utrumque punctum Λ, M polumque A circuli maximi describantur ΛN, MΞ (I 20).

quoniam igitur ΔΛ, ΛZ deinceps inter se aequales sunt, BN, NΘ deinceps inter se maiores sunt a maximo BN incipientes (prop. VI); itaque BΘ maior est quam duplus arcus ΘN. similiter igitur demonstrabimus, etiam KΘ minorem esse quam duplum arcus ΘΞ. quoniam igitur BΘ maior est quam duplus arcus ΘN, KΘ autem minor quam duplus arcus ΘΞ, erit $B\Theta : \Theta N > K\Theta : \Theta \Xi$; et permutando $B\Theta : \Theta K > N\Theta : \Theta \Xi$. uerum $B\Theta : \Theta K = \Delta Z : ZH$ (Eucl. V 16); itaque $N\Theta : \Theta \Xi < \Delta Z : ZH$. uerum $\Delta Z : ZH = \Lambda Z : ZM$ (Eucl. V 15); itaque $N\Theta : \Xi\Theta < \Lambda Z : ZM$; et permutando $N\Theta : \Lambda Z < \Theta \Xi : ZM$.



si igitur fecerimus, ut NΘ ad ΛZ, ita ΘΞ ad alium aliquem,

corr. **E**. BΘ] corr. ex Θ **A**. 25 ἐναλάξ **B**, corr. **B²**. ΘK] **AED**, KΘ **BCF**. 26 ὡς] e corr. **D**. ∸οὕτως **E**. 27 ἐλάττονα **E**. ΔZ] corr. ex ΔΞ **F**. 29 ΞΘ] corr. ex ZΘ **F**. ἐλάσσωνα **A**, sed corr.; ἐλάσσο^να **F**. 30 ἐναλάξ **B**, corr. **B²**. 31 NΘ] corr. ex HΘ **A**. πρὸς τὴν] e corr. **B**. ΛZ] ΘΛZ **E**. οὕτ^ω **D**, οὕτως πρὸς **C**.

τὴν ΘΞ πρὸς ἄλλην τινά, ἔσται πρὸς μείζονα τῆς ΖΜ περιφερείας· ὅπερ ἀδύνατον ἐδείχθη. οὐκ ἄρα ἐστίν, ὡς ἡ ΒΘ πρὸς τὴν ΔΖ, οὕτως ἡ ΘΚ πρὸς τὴν ΖΗ. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς μείζονα· πρὸς ἐλάσσονα ἄρα. ἔστιν ἄρα, ὡς ἡ ΒΘ πρὸς τὴν ΔΖ, οὕτως ἡ ΘΚ πρὸς ἐλάσσονα τῆς ΖΗ περιφερείας.

ια′.

Ἐὰν ἐπὶ μεγίστου κύκλου περιφερείας ὁ πόλος ᾖ τῶν παραλλήλων, καὶ τοῦτον τέμνωσι δύο μέγιστοι κύκλοι πρὸς ὀρθάς, ὧν ὁ μὲν εἷς τῶν παραλλήλων, ὁ δὲ ἕτερος λοξὸς πρὸς τοὺς παραλλήλους, ἄλλος δέ τις μέγιστος κύκλος διὰ τῶν πόλων ὢν τῶν παραλλήλων τέμνῃ τὸν λοξὸν κύκλον μεταξὺ τοῦ μεγίστου τῶν παραλλήλων καὶ οὗ ὁ λοξὸς ἐφάπτεται, ἡ τῆς σφαίρας διάμετρος πρὸς τὴν τοῦ κύκλου διάμετρον, οὗ ἐφάπτεται ὁ λοξὸς κύκλος, μείζονα λόγον ἔχει ἤπερ ἡ τοῦ μεγίστου τῶν παραλλήλων περιφέρεια ἡ μεταξὺ τοῦ τε ἐξ ἀρχῆς μεγίστου κύκλου καὶ τοῦ ἑξῆς διὰ τῶν πόλων πρὸς τὴν τοῦ λοξοῦ κύκλου περιφέρειαν τὴν μεταξὺ τῶν αὐτῶν κύκλων.

ἐπὶ γὰρ μεγίστου κύκλου περιφερείας τοῦ ΑΒΓ ὁ πόλος ἔστω τῶν παραλλήλων τὸ Α σημεῖον, καὶ τὸν ΑΒΓ κύκλον τεμνέτωσαν δύο μέγιστοι κύκλοι πρὸς ὀρθὰς οἱ ΒΕΓ, ΔΕΖ, ὧν ὁ μὲν ΒΕΓ μέγιστος τῶν παραλλήλων, ὁ δὲ ΔΕΖ λοξὸς πρὸς τοὺς παραλλήλους, ἄλλος δέ τις μέγιστος κύκλος ὁ ΑΗΚ διὰ τῶν πόλων τῶν παραλλήλων τεμνέτω τὸν ΔΕΖ μεταξὺ τοῦ τε ΒΕΓ καὶ οὗ ἐφάπτεται ὁ ΔΕΖ, οὗ δὲ ἐφάπτεται ὁ ΔΕΖ, ἔστω ὁ ΔΛΜ. λέγω, ὅτι ἡ τῆς σφαίρας διάμετρος πρὸς τὴν τοῦ ΔΛΜ κύκλου διάμετρον μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΗ περιφέρειαν.

γεγράφθω γὰρ διὰ τοῦ Η παράλληλος κύκλος ὁ ΝΗΞ, καὶ ἔστωσαν κοιναὶ τομαὶ τῶν ἐπιπέδων αἱ ΑΚ, ΔΖ, ΒΓ, ΝΞ, ΔΜ, ΘΟ, ΗΠ, ΟΗ, ΗΡ.

ἐπεὶ οὖν ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓ κύκλους τινὰς τῶν ἐν τῇ σφαίρᾳ τοὺς ΔΛΜ, ΝΗΞ, ΒΕΓ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτοὺς τεμεῖ καὶ πρὸς ὀρθάς· αἱ ΔΜ, ΝΞ, ΒΓ ἄρα διάμετροί εἰσι τῶν ΔΛΜ, ΝΗΞ, ΒΕΓ κύκλων, καὶ ὁ ΑΒΓ κύκλος ὀρθός ἐστι πρὸς ἕκαστον τῶν ΔΛΜ, ΝΗΞ, ΒΕΓ κύκλων. ἐπεὶ οὖν ἐν σφαίρᾳ παράλληλοι κύκλοι

1 ΖΜ] mut. in ΞΜ A². περιφερείας] om. E. Ad fig. γ F²; in fig. N] Υ E; H] N, N] H, B] e corr. D; E] om., arcus ΛN et ΛH om., Λ ad punctum Z ex alt. parte add., Θ] N (N om.), H] K, a K ducto arcu KΘ pro MΞ (M om.), K] Ξ, inter KΞ (h. e. HK) et E (om.) add. arcum HK C. Fig. in fine propos. repetit E litteris omissis. 4 ἔστιν ἄρα] om. AD, mg. A² (ἔστιν corr. ex ·/.). ὡς] ὡς ἄρα D. 5 τῆς] τινα τῆς E. περιφερείας] περιφερείας· ὅπερ ἔδει δεῖξαι E. 6 ια′] mg. ext. B². 8 τέμνωσιν A. 9 ὁ δὲ—παραλλήλων (10)] om. E. 10 ὢν] AD, om. BCF. τέμνει E. 11 τοῦ] τοῦ τε E. In λοξὸς des. E f. 140ʳ. 13 τῶν] ins. C². 14 τοῦ ἑξῆς] -οῦ ἐξ- in ras. 6 litt. A. Supra add. τοῦ μεγίστου ◯ˢ A², sed del. 17 ἐπὶ] corr. ex ἐπεὶ A. ἔστω] ἔσται B, ἔστω διὰ C. 18 τὸν] πρὸς τὸν C. 21 ΑΗΚ] -K corr. ex N? C. 22 τε] supra scr. A. ΒΓ C. ΔΕΖ (pr.)] ΔΕΓ B. 24 λόγον] -ό- in ras. A. 26 ΝΗΞ] N- e corr. A. 27 ΑΚ] ΑΗ C. ΝΞ] corr. ex MZ B, ΗΞ C. 29 ΝΗΞ] -Ξ corr. ex Z B. αὐτοὺς] -οὺς e corr. F. 30 ΝΞ] corr. ex NZ B. εἰσιν A. ΔΛΜ] corr. ex ΛΜ A. 31 ΝΗΞ] -Ξ corr. ex Z B. Post ΑΒΓ ins. ἄρα A². 32 ΝΗΞ] -Ξ corr. ex Z B. κύκλων] κύκλον C.

erit ad maiorem arcu ZM; quod fieri non posse demonstratum est (p. 152, 12 sqq.). ergo non est ΒΘ : ΔΖ = ΘΚ : ΖΗ; demonstravimus autem, ne ad maiorem quidem arcum ΘΚ eam rationem habere; ad minorem igitur. ergo, ut ΒΘ ad ΔΖ, ita ΘΚ ad minorem arcu ZH.

XI.

Si in ambitu circuli maximi polus parallelorum positus est, et hunc duo circuli maximi secant ad angulos rectos, quorum alter unus ex parallelis est, alter autem ad parallelos obliquus, et alius aliquis circulus maximus per polos parallelorum ductus circulum obliquum secat inter maximum parallelorum eumque, quem obliquus contingit, diametrus sphaerae ad diametrum circuli, quem circulus obliquus contingit, maiorem rationem habet quam arcus maximi parallelorum inter circulum maximum ab initio positum circulumque deinceps per polos ductum ad arcum circuli obliqui inter eosdem circulos positum.

in ambitu enim circuli maximi ΑΒΓ polus parallelorum positus sit punctum A, et circulum ΑΒΓ duo circuli maximi ΒΕΓ, ΔΕΖ ad rectos angulos secent, quorum ΒΕΓ maximus parallelorum, ΔΕΖ autem ad parallelos obliquus, alius autem aliquis circulus maximus ΑΗΚ per polos parallelorum ductus circulum ΔΕΖ secet inter ΒΕΓ circulumque, quem contingit ΔΕΖ, circulus autem, quem contingit ΔΕΖ, sit ΔΛΜ. dico, diametrum sphaerae ad diametrum circuli ΔΛΜ maiorem rationem habere, quam arcus ΒΘ ad arcum ΔΗ.


describatur enim per H circulus parallelus ΝΗΞ, et communes planorum sectiones sint ΑΚ, ΔΖ, ΒΓ, ΝΞ, ΔΜ, ΘΟ, ΗΠ, ΟΗ, ΗΡ.

quoniam igitur in sphaera circulus maximus ΑΒΓ circulos aliquos eorum, qui in sphaera sunt, ΔΛΜ, ΝΗΞ, ΒΕΓ per polos secat, in binas partes aequales eos secabit et ad rectos angulos (I 15); itaque ΔΜ, ΝΞ, ΒΓ diametri sunt circulorum ΔΛΜ, ΝΗΞ, ΒΕΓ, et circulus ΑΒΓ ad singulos circulos ΔΛΜ, ΝΗΞ, ΒΕΓ

εἰσὶν οἱ ΔΛΜ, ΝΗΞ, ΒΕΓ, διὰ δὲ τῶν πόλων αὐτῶν εὐθεῖά τις ἦκται ἡ ΑΚ, ἡ ΑΚ ἄρα ὀρθή ἐστι πρὸς ἕκαστον τῶν ΔΛΜ, ΝΗΞ, ΒΕΓ κύκλων καὶ διὰ τῶν κέντρων αὐτῶν τε καὶ τῆς σφαίρας ἐστίν· τὰ Σ, Π, Ο ἄρα σημεῖα κέντρα ἐστὶ τῶν ΔΛΜ, ΝΗΞ, ΒΕΓ κύκλων. καὶ ἐπεὶ ἐπίπεδα παράλληλα τὰ ΔΛΜ, ΝΗΞ, ΒΕΓ ὑπό τινος ἐπιπέδου τοῦ ΑΒΓ τέμνεται, αἱ κοιναὶ τομαὶ ἄρα αὐτῶν παράλληλοί εἰσιν· αἱ ἄρα ΔΜ, ΝΞ, ΒΓ παράλληλοί εἰσιν ἀλλήλαις. πάλιν, ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΝΗΞ, ΒΕΓ ὑπό τινος ἐπιπέδου τοῦ ΑΗΚ τέμνεται, αἱ κοιναὶ ἄρα αὐτῶν τομαὶ παράλληλοί εἰσιν· παράλληλος ἄρα ἐστὶν ἡ ΗΠ τῇ ΘΟ. ἐπεὶ οὖν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΝΠ, ΠΗ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΒΟ, ΟΘ εἰσι μὴ οὖσαι ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέχουσιν· ἴση ἄρα ἡ ὑπὸ ΝΠΗ γωνία τῇ ὑπὸ ΒΟΘ γωνίᾳ. καὶ ἐπεὶ οἱ ΝΗΞ, ΔΕΖ ὀρθοί εἰσι πρὸς τὸν ΑΒΓ κύκλον, καὶ ἡ τῶν ΝΗΞ, ΔΕΖ ἄρα κοινὴ τομὴ πρὸς τὸν ΑΒΓ κύκλον ὀρθή ἐστιν. κοινὴ δὲ αὐτῶν τομή ἐστιν ἡ ΗΡ· καὶ ἡ ΗΡ ἄρα ὀρθή ἐστι πρὸς τὸν ΑΒΓ κύκλον· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ τῆς ΗΡ ἑκατέρα τῶν ΠΡ, ΡΟ οὖσα ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΗΡΠ, ΗΡΟ γωνιῶν. καὶ ἐπεὶ ἡ ΑΚ τῇ ΝΞ ὀρθή ἐστιν, ἡ ἄρα ὑπὸ ΡΠΟ γωνία ὀρθή ἐστιν. ἐπεὶ οὖν ἡ ὑπὸ ΡΠΟ γωνία ὀρθή ἐστιν, ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΠΟΡ· μείζων ἄρα ἐστὶ καὶ ἡ ΟΡ τῆς ΡΠ. κείσθω οὖν τῇ ΠΡ ἴση ἡ ΡΤ, καὶ ἐπεζεύχθω ἡ ΗΤ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΠΡ τῇ ΡΤ, κοινὴ δὲ ἡ ΗΡ, δύο δὴ αἱ ΠΡ, ΡΗ δύο ταῖς ΡΤ, ΡΗ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ ὀρθὴ ἡ ὑπὸ ΠΡΗ ὀρθῇ τῇ ὑπὸ ΤΡΗ ἐστιν ἴση· βάσις ἄρα ἡ ΗΠ βάσει τῇ ΗΤ ἐστιν ἴση, καὶ τὸ ΠΡΗ τρίγωνον τῷ ΤΡΗ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΗΠΡ γωνία τῇ ὑπὸ ΗΤΡ

1 ΝΗΞ] -Ξ corr. ex Z **B**. ἦκται] mut. in διῆκται **A**². 2 ἐστιν **A**, comp. **C**. ΝΗΞ] -Ξ corr. ex Z **B**. 3 ἐστίν] **AB**, ἐστί **CDF**. 4 O] corr. ex Θ **C**. ΝΗΞ] -Ξ corr. ex Z **B**. 5 ΝΗΞ] -Ξ corr. ex Z **B**. τοῦ] corr. ex τῶν **A**. 6 ΝΞ] corr. ex NZ **B**. 8 ΝΗΞ] -Ξ corr. ex Z **B**. 9 εἰσιν] **AF**, εἰσι **BCD**. ΗΠ] ΝΠ **D**. τῇ] corr. ex τη̄ **A**. 12 ΝΠΗ] ΝΗΠ **B**; ΝΗΠΗ **C**, pr. H macula del. γωνία] γω- e corr. **D**. 13 οἱ] corr. ex ὁ in scrib. **C**, ο- e corr. **A**. ΝΗΞ] -Ξ corr. ex Z **BC**. ὀρθοί εἰσι] -οί εἰσ- in ras. **A**. 14 ΝΗΞ] -Ξ corr. ex Z **B**. ἐστιν] **A**, comp. **C**, ἐστι **BDF**. 15 ἐστι] ἐστιν **A**, comp. **C**. In fig. punctum P infra sectionem rectarum ΝΞ, ΔΖ coll. **B**; N] euan. **D**; Z] om. **C**, E] om. **C**. rectam ΗΟ om. codd. punctum A arcus ΔΜ medium esse debebat. 19 ὑπὸ] ὑπὸ τὸ **F**. 20 ΝΞ] N- corr. ex H **A**, -Ξ corr. ex Z **B**. ἐστιν] **A**, e corr. **B**, comp. **CD**, ἐστι̅ e corr. **F**, ἐστι **BF**. ἡ (pr.)] ins. **A**², om. **D**. ἄρα] **AD**, om. **BCF**. ὑπὸ] e corr. **A**², ἡ e corr. **D**, om. **BCF**. ΡΠΟ] **BCA**², P- e corr. **F**, ΡΟΠ **AD**. ὀρθή] ἔσται ὀρθή **B**, ἄρα ὀρθή **F**. ἐστιν] om. **B**, mut. in ἔσται **A**².

perpendicularis est. quoniam igitur in sphaera paralleli circuli sunt, per polos autem eorum recta aliqua ducta est AK, recta AK ad singulos circulos ΔΛΜ, ΝΗΞ, ΒΕΓ perpendicularis est et per centra eorum sphaeraeque uenit (I 10); puncta igitur Σ, Π, O centra sunt circulorum ΔΛΜ, ΝΗΞ, ΒΕΓ. et quoniam plana parallela ΔΛΜ, ΝΗΞ, ΒΕΓ plano aliquo ΑΒΓ secantur, communes eorum sectiones parallelae sunt (Eucl. XI 16); itaque ΔΜ, ΝΞ, ΒΓ inter se parallelae sunt. rursus, quoniam duo plana parallela ΝΗΞ, ΒΕΓ plano aliquo ΑΗΚ secantur, communes eorum sectiones parallelae sunt (ib.); itaque ΗΠ, rectae ΘΟ parallela est. quoniam igitur duae rectae inter se tangentes ΝΠ, ΠΗ duabus rectis inter se tangentibus ΒΟ, ΟΘ parallelae sunt non in eodem plano positae, angulos aequales comprehendunt (Eucl. XI 10); itaque $\angle \mathrm{N\Pi H} = \angle \mathrm{BO\Theta}$. et quoniam circuli ΝΗΞ, ΔΕΖ ad circulum ΑΒΓ perpendiculares sunt, etiam communis sectio circulorum ΝΗΞ, ΔΕΖ ad circulum ΑΒΓ perpendicularis est (Eucl. XI 16). communis autem eorum sectio est HP; itaque etiam HP ad circulum ΑΒΓ perpendicularis est; quare etiam ad omnes rectas eam tangentes et in plano circuli ΑΒΓ positas rectos angulos efficiet (Eucl. XI def. 3). tangit autem rectam HP utraque ΠΡ, ΡΟ in plano circuli ΑΒΓ posita; itaque uterque angulus ΗΡΠ, ΗΡΟ rectus est. et quoniam AK ad ΝΞ perpendicularis est (Eucl. XI def. 3), $\angle \mathrm{P\Pi O}$ rectus est. quoniam igitur $\angle \mathrm{P\Pi O}$ rectus est, $\angle \mathrm{\Pi OP}$ acutus est; quare etiam $\mathrm{OP} > \mathrm{P\Pi}$ (Eucl. I 19). ponatur igitur $\mathrm{PT} = \mathrm{\Pi P}$, et iungatur HT. quoniam igitur $\mathrm{\Pi P} = \mathrm{PT}$, communis autem HP, duae ΠΡ, ΡΗ duabus ΡΤ, ΡΗ aequales sunt altera alteri. et rectus angulus ΠΡΗ recto angulo ΤΡΗ aequalis est; itaque basis ΗΠ basi HT aequalis est, et triangulus ΠΡΗ triangulo ΤΡΗ aequalis est, et reliqui anguli reliquis angulis, sub quibus latera aequalia subtendunt, aequales erunt (Eucl. I 4); itaque $\angle \mathrm{H\Pi P} = \angle \mathrm{HTP}$.



21 ΡΟΠ **D**. 22 ἐστὶν **A**, comp. **C**. καὶ] del. **A**². 24 δύο] mut. in δυσὶ **A**². ΡΤ] mut. in ΤΡ **A**². 26 τρίγωνον] corr. ex τριγώνων **A**. ἐστίν] **A**, comp. **C**, ἐστί **BDF**. 28 πλευραὶ] e corr. **F**. ΗΠΡ] ante Π del. 1 litt. **C** (macula). ὑπὸ (alt.)] corr. ex πὸ **B**.

γωνίᾳ. ἀλλ᾽ ἡ ὑπὸ ΗΠΡ γωνία τῇ ὑπὸ ΘΟΒ γωνίᾳ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΗΤΡ ἄρα τῇ ὑπὸ ΘΟΒ ἐστιν ἴση. καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΗΟΡ ὀρθὴν ἔχον τὴν πρὸς τῷ Ρ γωνίαν, καὶ διῆκταί τις ἡ ΗΤ, ἡ ΟΡ ἄρα πρὸς τὴν ΡΤ μείζονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΡΤΗ γωνία πρὸς τὴν ὑπὸ ΡΟΗ γωνίαν. ἴση δὲ ἡ μὲν ΡΤ τῇ ΡΠ, ἡ δὲ ὑπὸ ΡΤΗ γωνία τῇ ὑπὸ ΘΟΒ· καὶ ἡ ΟΡ ἄρα πρὸς τὴν ΡΠ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΟΘ γωνία πρὸς τὴν ΡΟΗ. ἀλλ᾽ ὡς μὲν ἡ ΡΟ πρὸς τὴν ΡΠ, οὕτως ἐστὶν ἡ ΟΔ πρὸς τὴν ΔΣ, τουτέστιν ἡ ΔΖ πρὸς τὴν ΔΜ, ὡς δὲ ἡ ΒΟΘ γωνία πρὸς τὴν ΗΟΡ γωνίαν, οὕτως ἐστὶν ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΗ περιφέρειαν· καὶ ἡ ΖΔ ἄρα πρὸς τὴν ΔΜ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΗ περιφέρειαν. καί ἐστιν ἡ μὲν ΔΖ διάμετρος τῆς σφαίρας, ἡ δὲ ΔΜ διάμετρος τοῦ ΔΛΜ κύκλου· ἡ ἄρα τῆς σφαίρας διάμετρος πρὸς τὴν τοῦ ΔΛΜ κύκλου διάμετρον μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΘ περιφέρεια πρὸς τὴν ΔΗ περιφέρειαν.

ιβʹ.

